**v. 1 post ἥλιον add. τὰ *M* || v. 3 cανεὶ legitur in *C* fol. 5 rect. in. post lacunam, de qua dixi || τόξα *M* || μανιάκας πυρώδεις *M* || v. 2 βαρβάρωνα *MN* || v. 3. ἀπούλιον *MN* || v. 4 καμπετροῖος *M* || τούτων] κομητῶν *LO* || v. 5 αὐταῖς — λέγει (v. 6)] τοιαῦτα διέξεισι *LO* et hucusque edid. Cramer l. s. || v. 7 sq. cum tota hac Campestri doctrina conferas et anonymi dissertationem inedit. et Avieni expositionem, quas in epimetro posui; vid. praefat. || v. 7 κομήτης ἱππεὺς] περὶ κομήτου τοῦ λεγομένου ἱππέως *M*, om. *L* || v. 8 ante ὁ λεγόμενος add. κομήτης *LMN* || ἔστι μὲν Ἀφροδίτης] Ἀφροδίτης ἐστὶν *LMN* || v. 9 ὠνόμασται] .... ασται *C*, ὀνομάζεται *LMN* || v. 10 αὔλακας *MN* || τινας *MN* || v. 11 φωτὸς] ἔρωτος *MN* || v. 12 συνάγει *M* || v. 14 ὅταν om. *L* || ἀνίσχει *C*, ἀνίσχῃ καὶ coni H. || v. 15 ἀκοντίζον *L*, ἀκοντίζει *N* || v. 16 ante Περσῶν add. τε *C*, τῶν coni. H. || ἀπολεῖ *N*, δηλοῖ *L* || ὥστε—στρατολογίαν (p. 31 v. 5)]**

δυνάμεις πολλὰς στρατευμάτων ἐπὶ τὴν ἀνατολὴν συνδραμεῖν, τάς τε Συρίας πληρῶσαι τὸν ὁποιδήποτε γῆς ἀπῳκισμένον στρατιώτην, καὶ ὡς οὐκ ἀρκούσης τῆς παρασκευῆς πρὸς τὸ πολεμίων κίνημα καὶ B νεωτέραν γενέσθαι στρατολογίαν. ἡγήσεται δὲ λοιμός, καὶ διαφερόντως τοῖς ἵπποις ἐνσκήψει, οὐ τοῖς Περσῶν ἀλλὰ τοῖς ἐκ τῆς Εὐρώπης ἐπ' ἐκείνους φερομένοις. καὶ τοῦτο ἐλάττωσις ἔσται πρώτη τοῖς λοιμώττουσιν. ἀλλ' οὐ μέχρι παντὸς τὰ Περσῶν εὐτυχήσει· μεγάλης γὰρ συντρεχούσης κατ' αὐτῶν πα- 40 A ρασκευῆς φεύξονται, καὶ αἱ ληφθεῖσαι παρ' αὐτῶν πόλεις ἀφεθήσονται, ὁ δὲ βασιλεὺς αὐτῶν φεύγων ἀπολεῖται ταῖς [τῶν ἰδίων χερσίν]. εἶτα καὶ διαρπαγήσεται ὁ πλοῦτος Περσῶν. τὰ δὲ λήια ἄχρηστα, τῶν γεωργῶν ἀναιρεθέντων ἢ καὶ λοιμῷ διαφθαρέντων

om. *L* || ὥστε δεῖν] sic scripsi, ὥστε ... *C*, δι' ἣν ἀνάγκη *MN* || v. 2 τάς τε] τότε *MN* || ante Συρίας add. καὶ ἐκ *M* || πληρῶσαι] συνάγειν *M* || ὅπου δήποτε *MN* || v. 3 ἀποκισμένον *N*, ἀπο . . . . . . . *C* || ὡς om. *MN* || v. 4 τὸ πολεμίων] in *C* spat. 10 litter. || τὸ] τὴν *M* || ante πολεμίων add. τῶν *MN* || κίνησιν *MN* || v. 5 ἡγήσεται — λοιμώττουσιν (v. 9)] λοιμὸς δὲ ἐπισκέψει διαφερόντως τοῖς ἀλόγοις (i. e. ex demotica Graecorum lingua = equis) τῶν ἀπὸ τῆς εὐρώπης πρὸς πέρσας ἐκστρατευσαμένων *L* || v. 7 Περσῶν] τῶν περάτων *MN* || τοῖς ἐκ τῆς] spat. 6 litt. in *C*. quod τοῖς ἐκ τῆς explet, si τοῖς compendio eodem scribitur, quo fol. 5 v. 26 || post τῆς add. γῆς *MN* || v. 10 μεγάλης — ἀνίσχῃ (p. 32 v. 3)] τραπήσονται γὰρ καὶ ὁ βασιλεὺς αὐτῶν ἀναιρηθήσεται *L*, cuius scripturas omnes afferre abhinc supersedeo, cum misere contractam epitomen praebere pergat || v. 10 γὰρ] δὲ *MN* || v. 13 ταῖν *C* || τῶν ἰδίων χερσίν] in *C* spat. 12 litt., τῶν ἰδίων χερσὶν *MN* || καὶ om. *MN* || v. 14 ante Περσῶν add. τῶν *MN* || v. 15 καὶ om. *MN* || λιμῷ *MN* || φθαρέντων *MN* ||

γενήσεται. οὐ μὴν ἐμμενοῦσι τοῖς Περσῶν οὐδὲ ἐμβραδυνοῦσι τοῖς αὐτῶν οἱ ἀπὸ [τῆς] Εὐρώπης, ἀλλ'
B ἑκάτερον ἔθνος ὥσπερ τετελεσμένης τῆς μάχης ἐν τοῖς οἰκείοις ἐπανήξει. ταῦτα μὲν οὖν ἀπειλεῖ, ὅταν πυρώδης ἀνίσχῃ· εἰ δὲ ὠχρός, πολέμους μέν τινας, ἀλλ' οὐ Περσικούς, σημαίνει, σεισμοὶ δὲ πάντως καὶ
42 A πένθη τινὰ τοῖς ἀνθρώποις ἐνσκήψουσι. λοιμὸς δὲ τοῖς βοσκήμασιν ἐπιπεσεῖται καὶ λιμὸς κάρτα βίαιος.

12. Εἰ δὲ ὁ τοιοῦτος κομήτης ἐπὶ μεσημβρίαν ὁρᾷ, ὠχροὺς καὶ ὀξεῖς ἐπ' ἐκείνην βάλλων τοὺς πυρσούς, περὶ τὴν θερινὴν τροπὴν [λοιμ]ὸς βαρὺς ἐπιπεσεῖται τῇ Λιβύῃ καὶ πλῆθος ποικίλων κακῶν. ὅταν δὲ ἐπὶ τὴν ἄρκτον ἴδῃ, ἐκ τοῦ ἐναντίου [ἡ Λιβύη] κατὰ τῶν βορείων στρατεύσεται, μεγίστης αὐτῇ συμμαχούσης
B δυνάμεως. ἐλαττωθεῖσα δὲ εἶτα καὶ δύναμιν ξενικὴν συλλαβοῦσα τὴν μὲν ἀρχὴν οὐκ ἀγεννῶς καθοπλίσεται τῶν ἐναντίων, οὐ μετὰ πολὺ δὲ εἰς παντελῆ κακοδαιμονίαν πεσεῖται, ὥστε μετὰ τὸ ἀναιρεθῆναι ἐγγὺς ἅπαντας καὶ αὐτὸν ἀνδραποδισθῆναι καὶ δ[ε-
44 A θῆναι] τὸν ἡγεμόνα τοῦ ἔθνους. ἰστέον δὲ ὡς Λιβύην τὴν ἀπὸ τῆς ἐρυθρᾶς θαλάσσης ἄχρι Γαδείρων ἢ Ταρτησσοῦ ἢ τῆς λεγομένης [τοῖς Μαυρου]σίοις Γάδεως

v. 1 ἐμμείνωσι *MN* || ἐμβραδύνωσι *MN* || v. 2 τοῖς] τῶν *N* | τῆς om. *MN*, ut addatur flagitat spat. in *C* || v. 4 οὖν om. *N* || ὅταν] ὅτε *MN* || v. 5 ἀνίσχῃ] in *C* spat. 6 litter., ἀνίσχει *M*, ἀνίσχοι *N* || v. 6 πάντων *MN* || v. 7 πάθη *MN* || v. 10 ἐκείνους *N* || v. 11 λοιμὸς] .... ὸς in *C*, λιμὸς *MN* || v. 12 λιβύῃ] ἑλλάδι *MN* || v. 13 ἴδῃ] ἤτοι *MN* || ἡ Λιβύη] 7 litter. spat. in *C*, νεύῃ *M*, νεύει *N* || v. 14 στρατεύεται *N* || v. 15 εἶτα] ἤτοι *N*, om. *M* || v. 17 μετὰ] μετ' οὐ *N* || v. 19 καὶ δεθῆναι] om. *MN*, καὶ δ ...... *C* || v. 21 γαδήρων *C* | ταρτησοῦ *C*, ταρτίσου *M* || v. 22 ἢ ante τῆς om. *MN* || τοῖς Μαυρουσίοις scripsi, in *C* ........ στοις, in *MN* παρὰ

λαμβάνειν χρεών. οὐδὲ γὰρ περὶ Αἴγυ[πτον μόνην τὸ ἀποτέλεςμα] ἀλλ' ἀπολύτως περὶ τὴν Λιβυκὴν [ἅ]π[αcαν ζώνην καλῶς ἂν λα]μβάνοιτο, καὶ διαφερόντως τὴν Μαυρουςίων, οἳ καὶ προσεχεῖς εἰςὶ τῇ [πρὸς δυςμὰς] Εὐρώπῃ, μόνῳ τῷ λεγομένῳ [κατὰ] τοὺς ἐπι- B
χωρίους φρέτῳ οἱονεὶ πορθμῷ ἀπ' αὐτῆς δια[κεχωρισμένοι]. πέρας δὲ λοιμ[ώξουςι] νικήσαντες, ὡς α[ἱρετὴν αὐτοῖς] γεν[έσθαι καὶ] τὴν ἐν πολέμῳ ἀπώλειαν, αὐχμὸς δὲ ἐξ αὐτοῦ καὶ λιμὸς [ἔσται καὶ] διαφερόντως· [τῇ Αἰγύπτῳ], ὡς ἐλεεινὴν τὴν ζωὴν τοῖς περιλει- 46 A

μαυρουςίοις, H. coni. τοῖς πλείςτοις || p. 32 v. 22 γάνδεως *C* (secunda littera prope iam deleta), γῆς δέους *M*, γῆν δεος *N* || v. 1 post Αἴγυ in *C* spat. 19 litt., quod supplevi secundum *MN* || μόνον *N* || v. 2 ἅπαςαν — ἂν λαμβάνοιτο] sic scripsi ex *MN*, .π 20 litt. spat. μβάνοντο *C* || v. 3 ζώνην om. *M* || ἂν λαμβάνοιτο corr. Hercher pro ἀναλαμβάνοιτο || v. 4 τὴν] H. malit περὶ τὴν || τῇ πρὸς δυςμάς] sic scripsi ex *MN*, in *C* spat. 7 litt. cδ spat. 3 litt. c || v. 5 μόνῳ τῷ λεγομένῳ] λέγεται δὲ (haec duo rubr.) καὶ *M*, μόνα λεγόμενα *N* || κατὰ] spatium 9 litter. in *C*, φρέτα κατὰ *M*, κατὰ *N*, qui φρέτα post ἐπιχωρίους add., quod in φρέτῳ mutavi; Σεπτῷ supplevit H. || v. 6 αὐτῶν *MN* || διακεχωριςμένοι] διεςτῶτες *MN* || totum hunc locum inde a pag. 32 v. 20 (ἰςτέον) usque ad v. 6 (διακεχωριςμένοι) H. ab ipso Lydo interposita arbitratus est, postquam lacera *C* codicis verba male ita supplevit: v. 22 p. 32 τοῖς πλείςτοις, v. 1 et 2 Αἴγυπτον τὴν λέξιν ταύτην, v. 2 et 3, Λιβυκὴν ἐπαρχίαν οἱ παλαιοὶ ἀπελαμβάνοντο, v. 4 et 5 Μαυρουςίαν καί, ὅςαι προσεχεῖς εἰςὶ πρὸς τὰς δύςεις || v. 7 λοιμώξουςι scripsi, λοιμ . . . . *C*, πρὸς δὲ λιμώξουςιν οἱ *M*, λιμώξουςι δὲ οὕτως οἱ *N*, λοιμοὶ ἐκνικήσαντες suppl. H. || αἱρετὴν — καὶ] sic supplevi, in *C* α spat. 12 litt. γεν spat. 8 litt., αἱρετὴν αὐτοῖς γενέςθαι *MN* || v. 9 λοιμὸς *MN* || ἔσται καὶ supplevi, εςα . . . . *C*, ἔσται *MN* || v. 10 τῇ Αἰγύπτῳ] sic supplevi spatium 7 litt. in *C* ex *MN* || ζωὴν]

φθεῖcι [νομιcθῆναι]· νόcoc γὰρ βαρεῖα ἐπιπεcεῖται τῇ νέᾳ ἡλικίᾳ, καὶ ὁ Νεῖλος ἀποστραφήσεται, καὶ ἀνομβρία λοιμώδης ἔσται. εἰ δὲ ἐπὶ δύσιν ἀπίδοι, ἕως τῶν Ἡρα- 280
κλέους στηλῶν πόλεμος καὶ ἀπώλεια ἔσται στρατευμάτων καὶ λιμὸς καὶ πτώσεις τῶν βοσκημάτων. εἰ δὲ ἐπὶ τὸν Βοώτην νεύοι, κρύος ἀπηνὲς ἄχρι Εὐξείνου, καὶ χειμῶνες ἀήθεις ἐπιχεθήσονται, καὶ πολέμιοι καταδρα-
B μοῦνται τὴν χώραν. καὶ τὴν μὲν ἀρχὴν ἐλαττωθήσονται οἱ ἐγχώριοι, δυνάμεως δ' ὕστερον συντρεχούσης οὐ μόνον ἡττηθήσονται οἱ πολέμιοι, ἀλλὰ καὶ αἰχμάλωτοι οἱ ἡγεμόνες αὐτῶν ἐν δεσμοῖς ἔσονται. εἶτα ἐκεῖθεν ἐπὶ μεσημβρίαν μετελεύσονται ὁ νικήσας στρατός, καὶ τῶν ἐ[κεῖ ἀνθέξεται πό]λεων, καὶ ἐν ἐπαίνοις
48 A ἔσται· καὶ αὐτὰ δὲ τὰ θεῖα καταλείψουσι τοὺς πολεμίους ὥστε ἐκ περι[σσοῦ] προστεθῆναι τοῖς νικηταῖς. τοσαῦτα τὰ σημαινόμενα, ὅταν ὠχρὸς φαίνηται ὁ ἱππεὺς μετρίως· ὅταν δὲ καθ' ὁμαλοῦ ὠχρότα[τος], ἐξωτικὸν μὲν οὐκ ἀπειλεῖ, ἐμφυλίους δὲ φράζει πολέμους, οὐκ ἐλάττους τῶν πρὸς τοὺς ἔξωθεν ἀπειλοῦν[τας τὰς] συμφοράς, καὶ οὐ τοῦτο μόνον ἀλλὰ

νόσον *M*, ζώνην *N* || περιληφθεῖσι *M*, περιφθεῖσι *N* || v. 1 νομισθῆναι] sic *MN*, spat. 5 litter. in *C* || v. 2 Νεῖλος supplevi ex *MN*, . . . ος *C*, ἥλιος suppl. H. || v. 3 ἀφίδοι *MN* || post ἀπίδοι add. ὁ τοιοῦτος κομήτης *MN* || v. 4 post ἔσται add. τῶν *N* || v. 5 πτῶσις *M* || οἰκημάτων *MN* || v. 6 βοώτην] βορᾶν *M* (rubre) || νεύοι] sic *L*, νεύει (rubre) *M*, νέοι *C*, νευοῖ *N* || v. 7 ἐπειχθήσονται *MN* || v. 8 μὲν om. *MN* || v. 9 οἱ ἐγχώριοι — ἔσονται (v. 11)] om. *MN* || v. 12 μετελεύσεται *MN* || v. 13 ἐκεῖ ἀνθέξεται πόλεων] ε spat. 12 litt. λεων *C*, ἐκεῖ ἀνθέξεται *MN* || v. 15 περισσοῦ] περιστάσεως *MN* || v. 16 τοσαῦτα τὰ] τὰ τοιαῦτα *N* || v. 17 καθόλου ὠχρότητα *MN* || v. 18 ἐξωτικοὺς *MN* || v. 19 τῶν om. *MN* || ἀπειλοῦντας] ἐναπειλοῦν *N* || v. 20 τὰς om. *M* ||

καὶ ἐλάττωσιν *. ἐ[κείνῳ] δὲ μάλιστα προσεκτέον, ὡς
ἐπὶ χρόνον φαινόμενος, ὡς εἴρηται, ἐπὶ τὸν γαλα- B
ξίαν (οὐδὲ γὰρ πρὸς ἀνατολὰς ὑπὲρ τὰς ἑπτὰ φανή-
σεται ἡμέ[ρας ὁ τοιοῦ]τος ἀστήρ), χρόνια τὰ κακά,
πρὸς βραχὺν δὲ καιρόν, ἐπίκαιρ[α] σημαίνει.

## ΚΟΜΗΤΗΣ ΞΙΦΙΑΣ 50 A

13. Οὗτος ὁ ἀστὴρ ἀναφέρεται μὲν Ἑρμῇ, οὐχ ἥτ-
τονας δὲ τοῦ προτέρου, δολιωτέρας μέντοι ἐνεργείας
ποιεῖ. ἂν μὲν γὰρ ἐπὶ τὴν ἀνατολὴν βλέπῃ, οἱ δυνα-
τοὶ Περσῶν καὶ Αἰθιόπων τοὺς ἑαυτῶν βασιλεῖς φαρ-
μάκῳ διαφθεροῦσι. τὸ αὐτὸ δὲ καὶ ἐπὶ Φοινίκης πρός
τινων [τοῦ πλήθ]ους κατὰ τῶν ἐν τέλει ἁμαρτηθήσε-
ται. φῆμαι δὲ ἔσονται οὐκ ἀληθεῖς, ἐκδειματοῦσαι
τοὺς ἁπανταχοῦ. εἰ δὲ ἐπὶ μεσημβρίας ἀνίσχοι, Αἰγυ- B
πτίοις καὶ τοῖς ἄλλοις Λιβυκοῖς ἔθνεσι δόλους ὡσαύ-
τως θανατηφόρους ἐπιφέρει, καὶ Αἰγύπτιοι μὲν ἕξουσι
μεταβολὴν τῶν κακῶν, Λίβυες δὲ ἐμφυλίοις πολέμοις
δαπανηθήσονται. ὅτε δὲ ἐπὶ τὴν δύσιν ὁρᾷ, τοῖς ἐκεῖσε 52 A
δυνατοῖς τὰ ὅμοια ἀπειλεῖ, ὡς ἐξ ὑπονοίας κατ᾿
ἀλλήλων ἐξενεχθῆναι εἰς φανερὸν πόλεμον. ὅτε δὲ

v. 1 ἐλάττωσιν] ἕτερα πλείονα *M* || post ἐλάττωσιν Hasio videtur vox praetermissa esse a librario codicis *C* || ἐκεῖνο *MN* || v. 2 ante ἐπὶ add. ὁ *M* || χρόνου *M* || v. 3 οὐδὲ] ἐστὶν· εἰ (εἰ rubr.) *M*, εἰ *N* || v. 4 ἡμέρας ὁ τοιοῦτος ἀστήρ] ἐπιπλέον οὖν ὢν *M*, τοιοῦτος γὰρ ἡμέρας *N* || v. 5 βραχὺ *MN* || καιρὸν — σημαίνει] ἐπ᾿ ἔλαττον *M* || ἐπίκαιρα om. *N* || v. 6 κομήτης ξιφίας] περὶ ξιφίου *M* || v. 7 οὗτος ὁ ἀστὴρ] ὁ δέ γε ξιφίας *M* || ἑρμοῦ *MN* || ἥττονας coni. Hercher pro ἧττον || v. 8 μέντοι] τὰς *MN* || v. 9 ποιεῖ coni. Hercher pro ποιεῖται || v. 11 διαφθεροῦσι scripsi, διαφθειρουσι *C*, διαφεροῦσι *M*, διαφθειροῦσιν *N* || πρός τινων] προστείνων *M* || v. 12 τοῦ πλήθους] τὸ πάθος *MN* || v. 14 μεσημβρίαν *MN* ||

ἐπὶ τὴν ἄρκτον ὁρᾷ, ἐπιμιξίαν δηλοῖ τῶν ἀρκτῴων καὶ Λιβυκῶν ἐθνῶν, ὥcτε θυγατέρα Λίβυοc δυνάcτου δοθῆναι πρὸc γάμον ἀρκτῴῳ τυράννῳ, καὶ ἐπιβουλεῦcαι τῷ πατρὶ τὴν παῖδα, καὶ προδοῦναι αὐτόν, ἔρωτι ἀcεβεῖ περὶ τὸν ἄνδρα κρατουμένην.

## ΚΟΜΗΤΗC ΛΑΜΠΑΔΙΑC

B 14. Λαμπαδίαc [κομήτηc, οὕτω προcαγορευόμενοc] ἐκ τοῦ cχήματοc, ἔcτι μὲν Ἑρμοῦ καὶ αὐτόc· ὅταν δὲ ἐπὶ ἀνατολὰc ἴδῃ, ἀχλυώδη τὸν ἀέρα καὶ ἐξ αὐτοῦ βλάβην τῇ ἀμπέλῳ μαντεύεται· ἐκ γὰρ τῆc
54 A ἀχλύοc τίκτονται cκώληκεc οἱ λεγόμενοι ἶπεc. καὶ ἡ βλάβη καθολική, μάλιcτα δὲ τοῖc περὶ τὴν ἄνω Ἀρμενίαν, Εὐφρατηcίαν [τε καὶ Φοι]νίκην καὶ Ταυροκιλικίαν γεν[ήcε]ται. καὶ οὐ μόνον ἐν ἡμέρᾳ, ἀλλὰ καὶ ἐν νυκτὶ οὕτωc ἡ ἀχλὺc πυκνωθήcεται ὡc καὶ λαμπάδαc ἀνημμέναc ἀποcβέννυcθαι. τοῖc δὲ καρποῖc ἐμφυήcεται ἡ λεγομένη αἶρα καὶ ὑγραcία τιc cηπτικὴ
B καὶ βλαπτικὴ τοῖc ἀμητοῖc· ἐκτροπαί τε ποταμῶν καὶ ὄμβρων ῥήξειc βιαιοτέρων καὶ κεραυνῶν βολαὶ ἔcονται, καὶ οὐδὲν ἧττον ὁ αὐχμὸc ἐπιτείνῃ, ὡc καὶ τοὺc ἀενάουc τῶν ποταμῶν ἀναφρυγῆναι. εἰ δὲ ἐπὶ νό-

v. 6 κομήτηc λαμπαδίαc] περὶ λαμπαδίου (rubr.) *M* || v. 7 ante λαμπαδίαc add. ὁ δὲ *M* || κομήτηc — προcαγορευόμενοc] om. *M*, κομήτηc, καὶ οὕτω προcαγορευόμενοc *N* || v. 8 post cχήματοc add. *M* οὕτω προcηγορεύθη || μὲν] δὲ *MN* || v. 10 ταῖc ἀμπέλοιc *M* || v. 11 τίκτοντεc *N* || v. 12 δὲ τοῖc] sic *MN*, μέντοι *C* || v. 13 τε—γενήcεται (v. 14)] om. *MN* || v. 16 ἡμμέναc *M*, cυνημμέναc *N* || ἐναποcβέννυcθαι *C* || v. 17 ἠέρα *M*, ἡ ἔρα *N* || τιc — βλαπτική] cηπτικὴ *MN* || v. 18 τε] τῶν *MN* || καὶ ὄμβρων—τῶν ποταμῶν (v. 21)] om. *MN* || v. 21 ante ἀναφρυγῆναι add. ὥcτε *MN* || εἰ — ἔτι] ἐπὶ δὲ (ἐπὶ δὲ rubr.) τῶν *M* || νότον] τὸν *N* ||

τον, ἔτι μᾶλλον ξηρότερον ἔσται καὶ λοιμωδέστερον τὸ τοῦ ἀέρος κατάστημα, τοῦ Νείλου ὑποξηρανθέντος, ὥστε ἑρπετῶν πάντα πληρωθῆναι. εἰ δὲ ἐπὶ τὴν ἄρκτον, ὁ μὲν αὐχμὸς τῷ ψυχρῷ τοῦ κέντρου ἡττηθήσεται, πῦρ δὲ ταῖς ὕλαις ἀδοκήτως καὶ τοῖς ὄρεσιν ἐμπεσεῖται, ὡς μηδὲ τοὺς ἐν τοῖς ἀγροῖς ἢ φρουρίοις διατρίβοντας ἔξω τῆς βλάβης γενέσθαι· θάνατός τε C πολὺς ἔσται, καὶ μάλιστα ἐπὶ τῆς Αἰγύπτου. ὅταν δὲ 56A ἀνίσχων πρὸς δυσμὰς ὁρᾷ, κεραυνοὺς μὲν τῇ χώρᾳ, πτῶσιν δὲ τοῖς βοσκήμασι μαντεύεται, ἐμπρησμοί τε ἔσονται βαρεῖς.

## ΚΟΜΗΤΗΣ

15. Οὗτος ὁ ἀστὴρ Διός μέν ἐστιν, οὕτω δέ ἐστιν ἐπίσημος ὡς ἐξ αὐτοῦ πάντας τοὺς ἄλλους διοσημειακοὺς ἀστέρας κομήτας προσαγορεύεσθαι. οὗτος δὲ ἡνίκα λαμπροὺς καὶ ἀργυροειδεῖς τοὺς πλοκάμους ἐπὶ τὴν ἀνατολὴν ἀκοντίσῃ, Διὸς καρκίνῳ ἢ σκορπίῳ ἢ ἰχθύσιν ὄντος, Πέρσαις ἀγαθὰ μεγάλα μαντεύεται. B ἀναστήσονται γάρ, καὶ ἐπὶ τὰ Ῥωμαίων ἐκχυθέντες πόλεις τε καὶ φρούρια καθέξουσιν, αἰχμαλώτων τε ἄπειρον πλῆθος καὶ πλοῦτον πολὺν λαβόντες νικηταὶ εἰς τὴν ἑαυτῶν χώραν ἀναζεύξουσι, μηδὲ συμβαλεῖν ὅλως

v. 1 ξηρότερων *N*, ξηροτέρων *M* || ἔσται om. *C* || v. 2 ὁ (rubr.) δὲ Νεῖλος ξηρανθῇ *M* || ὑποξηρανθέντος coni. Hercher pro ὑποξηραίνοντος || v. 4 τοῦ κέντρου] om. *M* || v. 6 τοὺς] τοῖς *N* || v. 7 διατριβόντων *N* || v. 8 τὴν *M*, τοῖς *N* || Αἴγυπτον *M* || ὅταν δὲ ἀνίσχων] εἰ δὲ (rubr.) *M* || v. 9 μὲν om. *MN* || v. 12 κομήτης] Διὸς κομήτης *N*, περὶ κομήτου τοῦ Διὸς *M* || v. 13 μὲν — ἐπίσημος (v. 14)] κομήτης ἐστίν. ἔστι δὲ ἐπίσημος· ἐπίσημος δὲ ἐστιν *M* || οὕτω] αὐτὸς *N* || v. 14 ante ὡς add. ἐπίσημος δέ ἐστιν *N* || v. 15 ante ἡνίκα om. δὲ *C* || v. 17 Διὶ *M* || v. 20 φρούριά τε καὶ πόλεις *M* || τε] δὲ *N* || ἀπείρων *C* || v. 22 ἀναζεύξωσιν *N* || μήτε *C* ||

τινὸς θαρροῦντος αὐτοῖς. ὅταν δὲ ἀποστρόφως ἀνίσχῃ ὁ κομήτης οὗτος, τοῖ[ς ἀφ' ὧ]ν ἀποστρέφεται 58A τὰς ἀστοχίας ἐπιφέρει. εἰ δὲ ἐπὶ τὸν νότον ἴ[δοι], ἐπιδώσει ὁ Νεῖλος ἀφθονώτερον, εἰρήνη τε καὶ εὐετηρία ἔσται ἐπὶ τῆς Αἰγύπτου, ὁμόνοιά τε καὶ εἰλικρινὴς τοῖς πᾶσιν ἡσυχία. εἰ δὲ ἀποστρεφόμενος καὶ κατὰ νῶτα ἔχων τὴν ἀνατολὴν ἐπὶ τὴν δύσιν ὁρᾷ, ἄπειρος ἔσται τοῖς Ῥωμαίοις εὐδαιμονία· Πέρσας τε γὰρ καταπολεμήσουσι καὶ αὐτοῦ ἀναιρεθέντος τοῦ Περσῶν βασιλέως· πάντων τε ὁμοῦ τῶν ἀγαθῶν ἀφθονία τῇ Ῥωμαίων πολιτείᾳ ἔσται· θέαι τε ἄφθονοι καὶ δωρεαὶ φιλότιμοι καὶ ἱππικοὶ ἀγῶνες σπουδαιότεροι μετὰ ψυχαγωγίας τοῦ πλήθους ἐπιτελεσθήσονται καὶ ἁπλῶς εἰπεῖν τοῖς πράγμασι καθολικὴ ἔσται ἱλαρότης. εἰ δὲ ἐπὶ τὴν ἄρκτον ἴδοι κατὰ νῶτα τὸν νότον ἀφείς, καταδραμοῦνται Λιβύην οἱ ἀπὸ τῆς Εὐρώπης νόμῳ πολέμου καὶ οὐχ ἥκιστα οἱ ἀπὸ τοῦ ἀνατολικοῦ βορείου κατὰ τῶν νοτίων δυτικῶν. τοῖς δὲ ἐπὶ τὴν ἀνατολὴν καὶ Αἴγυπτον νοτίοις οἱ πρὸς βοήθειαν καὶ φυλακὴν τῶν ὅρων ἐνιδρύμενοι στρατιῶται τὰ χείριστα ἐπάξουσιν.

v. 1 ἀνάσχοι *L MN* || v. 2 οὗτος om. *M*, οὕτως *N* || τοῖς ἀφ' ὧν] sic scripsi ex *L*, τοι . . . . . ν *C*, τοῖς καρποῖς *M*, το καρποῖς *N*, τοῖς καθ' ὧν suppl. H. || v. 3 ante τὰς add. καὶ *MN* || ἐπιφέρειν *N* || ἴδοι supplevi, ι . . *C*, ἀπίδοι *MN* || v. 4 ἀφθονώτερον] εὐτονώτερον *M* || v. 5 τὴν Αἴγυπτον *MN* || v. 7 νῶτα] .οτο. *C*, i. e. νότον et sic *N* || v. 8 inde a τε incipit lacuna in cod. *C*, in quo explicit fol. 6 vers. et desideratur unum certe folium || v. 9 ἀναιρουμένου *N* || v. 14 ἱλαρία *N* || v. 15 νῶτα] νότου *N* || v. 18 δυτικῶν νοτίων *N* ||

## ΚΟΜΗΤΗϹ ΔΙϹΚΕΥϹ

15ª. ὁ λεγόμενος δισκεὺς ὡς εἴρηται ἀπὸ τοῦ σχήματος οὕτω προσηγορεύθη, ὥστε κυκλοτερὴς ὢν οὐκ ἔστι δῆλος ἐπὶ ποῖον μέρος ἀφορᾷ· ἀνίσχων δὲ κοινὰ πᾶσι μαντεύεται κακά· καὶ οὐδενὶ τῶν πλανητῶν ἀνάκειται, ἀλλ' ἐξ ἀνταυγείας τοῦ ἡλίου γίνεται. ἀπειλεῖ τοίνυν θορύβους καθολικοὺς καὶ πολέμους ἀπὸ τῆς ἄρκτου καὶ μεγάλων προσώπων ἀπώλειαν καὶ εὐτελῶν καὶ ἀγενῶν εὐπραγίαν, κίνδυνον δὲ καὶ αὐταῖς ταῖς πρώταις τύχαις ἐπάγει. ἐλαττωθήσεται δὲ πανταχοῦ τὰ Ῥωμαίων στρατεύματα, ὡς ἐγγὺς παντελοῦς ἀπωλείας ἐλθεῖν.

## ΚΟΜΗΤΗϹ ΤΥΦΩΝ

15ᵇ. οὗτος γίνεται ἐξ ἀντανακλάσεως τοῦ ἀέρος· ἔστι δὲ δρεπανοειδής, ἀργός, καπνώδης, στυγνός. ὅπου δ' ἂν βλέπῃ, καθολικὰ ἔσται κακά. πόλεμοί τε ἐξωτικοὶ καὶ ἐμφύλιοι βαρεῖς καὶ στάσεις δημοτικαὶ καὶ ἔνδεια τῶν ἀναγκαίων. ἀναιρεθήσονται δὲ καὶ ἡγεμόνες ἔνδοξοι ἐν πολέμοις καὶ μάλιστα εἰ ἐπὶ τρεῖς

v. 1 περὶ δισκέως *M* || v. 2 post ὁ add. δὲ *M* || δοκεὺς *N* || v. 4 μέρος ἀφορᾷ] μέρος τοῦ κόσμου δοκεῖ ἀφορᾶν *L*, ἰὼν δὲ ἀφορᾷ ἀνίσχων *N* || ἀνίσχων δὲ κοινὰ] sic *L*, κοινὰ δὲ *MN* || v. 5 καὶ οὐδενί] ἀλλ' οὐδέ τινι *L* || πλανητῶν] sic *L*, πλαγίων *MN* || v. 6 ἀλλ'] γίγνεται δὲ *M*, qui om. γίγνεται post ἡλίου || v. 10 ἐλαττωθήσεται δὲ] ὡς ἐλαττωθῆναι *L* || v. 11 τῷ ante Ῥωμαίων add. *L* || ὡς] καὶ *L* || v. 13 κομήτης τυφών] om. *L*, περὶ τυφῶνος *M* || v. 14 οὗτος scripsi, οὕτως *N*, ὁ τυφὼν δὲ *L*, ὁ δὲ τυφὼν *M* || ἀνακλάσεως *L* || v. 15 ἔστι δὲ] sic L, om. *MN* || ἀραιὸς coni. Hercher || v. 16 δ' ἂν] sic *L*, γὰρ *MN* || βλέπῃ corr. Hercher pro βλέπει || v. 17 ἐμφύλιοι — στάσεις] sic *L*, βαρεῖς ἐμφύλιοι στάσεις *MN* || v. 18 καὶ post δημοτικαὶ om. *M* ||

ἢ τέccαραc ἡμέραc φαίνεται. εἰ δὲ πλέον φανῇ, τοῦ παντὸc ἀπώλειαν καὶ ἀνατροπὴν ἀπειλεῖ καὶ πέραc τῶν κακῶν οὐδαμοῦ. ἀπολοῦνται δὲ πλεῖcτοι ἐκ τοῦ Ῥωμαϊκοῦ cτρατεύματοc ἐν πολέμῳ, ληφθήcονται δὲ καὶ παρεμβολαὶ καὶ φρούρια Ῥωμαίοιc προcήκοντα· καὶ αὐτοῖc δὲ τοῖc ἄρχουcι cταcιάζων ὁ δῆμοc ἐπελεύcεται. καὶ λοιμὸc ἔcται καὶ οὐδεὶc εὐχόμενοc ἀκουcθήcεται· καὶ διαδοχαὶ κατάλληλοι τῶν ἀρχόντων ἐξ ἀβελτηρίαc τῶν κρατούντων ἔcονται. ἐμπρηcμοὶ δὲ διαφερόντωc κάρτα βίαιοι καὶ φονικοὶ ὅλαc πόλειc ἀποτεφροῦντεc cυμβήcονται. καὶ καθολικὰ μὲν ἔcται καὶ ἀνυπόcτατα πανταχοῦ δεινά, τοῖc δὲ δυτικοῖc χείρονα. πόλεμοc γὰρ αὐτοῖc ἐκ τῆc ἀνατολῆc δυνατὸc ἐπιπεcεῖται, διχονοούντων δὲ τῶν κινουμένων ἐκ τῆc ἀνατολῆc τὸ πλεῖcτον τῆc cτρατιᾶc ἀποφθαρήcεται. καὶ cτάcειc ἐγερθήcονται τοῖc cτρατεύμαcι καὶ ἀλλήλοιc τὰc ποινὰc ἐπικλώcουcιν αἱ cτρατεῖαι. μετ᾽ οὐ πολὺ δὲ αὖθιc οἱ νικηταὶ δυcτυχήcουcι καὶ διοχθήcονται καὶ ἁπλῶc τοῖc ἁπανταχοῦ κακὰ ἔcται ἐπὶ τοcούτουc ἐνιαυτούc, ἐφ᾽ ὅcαc ἡμέραc ἡ τοιαύτη διοcημεία φανήcεται.

16. ........[γενεc]ίαν τῷ παν[τὶ παρ]έχουc[α· καὶ
60A ὅcα ἁ]πλῶ[c ἐν] τῷ περ[ὶ] γενέc[εωc καὶ] φθ[ορᾶc ὁ

v. 1 φανῇ] sic *L*, om. *MN* || v. 2 ἀπειλεῖ] sic *L*, om. *MN* || v. 6 τοῖc] τῶν *N* || v. 7 λοιμὸc scripsi pro λιμὸc || v. 10 φοινικοὶ *M* || v. 11 post ἔcται add. ἡ *N* || v. 13 χείρονα] sic explic. *L* || v. 17 ἐπικλώcωcι τὰc cτρατείαc *N* || v. 19 διοφχθήcονται *N* || v. 21 φανήcεται] sic explic. *MN* || v. 22 in eo folio, quod in *C* desideratur, probabile est post finitam Campestri de cometis dissertationem, cuius finem ex codd. *LMN* supra scripsi, Lydum transiisse ad observationes lunares. ibi Hase ex peroratione capitis 16

ριλόσοφος ἀνα]φ[έρει. ὥστε ἀν]άγκη π[ᾶ]σα τῶν
ιπὸ σ[ελήν]ην πάντων [μὴ] μίαν [μ]ηδὲ τὴν αὐτὴν
:ἶναι φύσιν. εἰ γὰρ ἀρχὴ γενέσεως καὶ φθορᾶς σε-
ι[ήνη, εἰκός ἐστι] μὴ ἀεὶ [ὡσ]αύτως θεωρεῖσθαι τὰ
ιπ' [αὐ]τὴν φυ[όμενα συμβά]ντα. εἰ γὰρ ἔκκ[εντρ]ος
ταρὰ τ[οὺς ἄλλους τ]ῶν [π]λανωμένων αὕτη, λοξῶς
:αὶ οὐ πρὸς ὀξὺ τὰ τῶν ἀποτελεσμά[τ]ων γίνεται.
οἱ μὲν γὰρ κατὰ τοὺς διαπλόκο[υς] πόλους [τὴν ἐπὶ B
:αῖς] διοσημείαις μαντείαν ἀπευθύνους[ιν, ἄ]λ[λοι δὲ
ιατὰ] τὰς [ἐπιτο]λὰς ἢ κατὰ τὰς φάσεις· καὶ οὗτοι
ιὲν π[ρὸς τὰ ζ]ῴδια τὸν ἥλι[ον ἐ]πιτηρήσαντες, ἐκεῖ-
ιοι δὲ πρὸς τ[ὰς σεληνια]κὰς συνόδους [καὶ ἀπο]στά- 62 A
:εις, ἄλλοι κατὰ φυσικ[άς τι]νας ἐπιτηρήσεις. κῆ[ρυξ
δὲ τῶν ἀπορρήτω]ν ἡ φύσις. ὥσ[τ' οὐκ ἔ]ξω φρενο-
βλαβείας [μέμφον]ται [ταῖς μεθό]δοις δι' ὧν τοῦ
μ[έλλοντος στοχάζ]εσθαι εἰσαγό[μεθα]· οὐδὲ [τὸ] περὶ
τὴν τ[ῶν ἀστέρων θεωρίαν ἀ]πασχολοῦν [ἔξω θεοσε-
β]είας [ποι]εῖ· ἀλλ' ἔτι μᾶλλον τὴν [πάνσο]φον ἔστι
διὰ [τῶν ἔργ]ων αὐτῶν θεωρῆσαι πρόνοιαν τ[οῦ
πάντ]ων ἀρρήτου [πατρ]ός, [καὶ θ]αυμάσ[αι τὴν ψυ]- B
χὴν ἀνθρώπου δύνασθαι ἡγουμένου θεο[ῦ καὶ] περὶ
τῶν οὐρανίων, ὡς δυνατόν, διαλέγ[εσθαι. ταῦ]τα

suspicatur auctorem suscepisse defensionem disciplinae auguralis contra voces quorundam negantium consociari eam posse cum pietate rectaque persuasione de numine ac mente dei. cui opinioni opposuisse videtur ratiunculas e libris Aristotelis de caelo deque generatione et corruptione conquisitas: tempestatum vicissitudines rerumque humanarum commutationes, modo leges a providentia fixas noveris, non minus a mortalibus sciri praedicique posse quam siderum cursum impetumque caeli. qua ex argumentatione supersunt quae secuntur. || incipit fol. 7 in *C* ||
v. 5 εἰ γὰρ] εἴ γε suspicatur H. ||

μὲν οὖν Φούλβιός φ[ηcιν, ἐκ τ]ῶν τοῦ Νουμᾶ ἱ[cτορήcαc. ἡμεῖc δ]ὲ μετὰ [τὰc ἐκ δια]φόρων cυνειλεγμέ-
64 A ναc δόξαc [καὶ τὰc ἐξ ὁ]μαλοῦ τοῖc πα[λαιοῖc γραφ]είcαc ὑποθήcομεν, ἐκ τῶν περὶ [cε]λήνηc cχηματι[cμῶν κατὰ τὰ ζ]ῴδια τῆc θεωρίαc λαμβάνοντεc.

17. [Cελήνη] αἰγόκερῳ. [εἰ κατὰ τὴν διχομηνίαν ἡ cελή]νη ἀμυδρὰ φανῇ, εὐθηνία ἔcται. [εἰ δὲ ἐν τῇ δευτέρᾳ φυλακῇ ὁμο]ίωc ἀμυδρὰ φαίνηται, ἔφοδον πολε[μίων cημαίνει. εἰ] ..................αc τεκμήριον. εἰ δὲ ........................ [ἀ]πειλεῖ. εἰ δὲ ἄcτρον διαδρά[μῃ, ἀπώλειαν ἀνθρώπων cημαίνει.
B εἰ δὲ ὁμί]χλη γένηται, χάλαζα [πεcεῖται. εἰ δὲ ἄνεμοι βιαιοτέρωc] πν[εύcου]cιν, ἐφόδουc πολεμίων [φράζουcιν].

[Cελήνη ὑδρο]χόῳ. [εἰ κατὰ τὴν πρώτην ἢ
66 A δευτέραν φυλ]ακὴν ἡ cελήνη ἀμυδρὰ φαίνοιτο, πόλεμοc ἔcται· εἰ δὲ κατὰ τὴ[ν ἑωθι]νήν, εἰρήνην μετ[ὰ ἐλλεί]ψεωc τῶν ἐπι[τηδ]είων δηλοῖ. εἰ δὲ cειcμὸc ἢ ἦχοc ἐκ τοῦ οὐρανοῦ γένηται, νόcουc cημαίνει. εἰ δὲ ὁμίχλη γένηται, cίτου κα[ὶ ο]ἴνου δαψίλειαν δηλοῖ. εἰ δὲ παρ' ὅλον τὸν μῆνα ἐπιτείνουcι πνεύματα, [ὑε]τὸc ἥ[ξει. εἰ ὁ] ἕcπεροc ἐν τῇ cελήνῃ εἰcέλθῃ, [ἴδιοι ἰ]δίοιc δυνατοὶ ἐπ[ιβουλεύcο]υcιν. εἰ δὲ δ[όξ]ῃ
B ἐκλιπεῖν ἡ cελήνη ** cελήνηc cυνέλθωcι, cίτου ἀφθονία ἔcται. εἰ δὲ ἄcτρον ἐκτρέχον ἐπὶ τὸν [οὐ]ρανὸν αὐλακίζει, κίνδυνον τοῖc παραλίοιc ἀπειλεῖ.

Cελήνη ἰχθύcιν. εἰ ὁ ἥλιοc φαύλωc ἐκλάμπειν

v. 2 cυνειλιγμεναc *C* || v. 4 ὑποθήcωμεν *C* || v. 24 ** om. librarius clausulam prioris et initium sequentis sententiae; hoc cum H. supple: εἰ δὲ αἱ κεραῖαι τῆc || v. 27 φαυλοc *C* ||

δόξῃ, φθορὰ ἔσται ἀνθρώπων. [εἰ δὲ] ἐν τῇ πρώτῃ 68 A
φυλακῇ ἡ σελήνη τὰς κεραίας συνάγῃ, εἰρήνη [ἔσται].
εἰ δὲ σ[εισ]μὸς γένηται, ἀπορίαν σημαίνει τοῖς συναλ-
λάγμασιν. ἐὰ[ν] ἄστρον ἐν ἡμέρᾳ φανῇ, ἀνάγκη τὰ
κοινὰ περ[ιστήσετ]αι. ἐὰν [κε]ραυνὸς [εἰς] γῆν [πέσῃ,
π]αῦλα τῶν κακ[ῶν. ἐὰν] ὁμί[χλη εἰς τὴν] γῆν πέσῃ,
συνοίσει τοῖς καρποῖς.

18. [Σελήνη κριῷ]. εἰ ἡ σελήνη ταρ[αχώ]δης
φανῇ, πόλεμοι ἔσονται καὶ ἐπ[αναστάσεις]. εἰ δὲ B
κατὰ τὴν [δευ]τέραν φυλακὴν ἡ σελήνη αἱματώδ[ης
φανῇ, ὁ] σῖτος ἔσται ἀφθονώτατος. ἐὰν ὁ ἕσπερος ἐγ-
γίζῃ τῇ σελ[ήνῃ, πό]λεις π[όλεσι συρ]ραγήσονται καὶ
λιμὸς ἔσται. εἰ νυκτὸς πρηστὴρ κατ[εν]εχθείη, βασι-
λ[εὺς τοῖς] ἑαυτοῦ ἐπιβουλεύσει. εἰ δὲ σεισμὸς γ[ένηται],
ἔνδειαν σί[του ση]μαίνει. εἰ δὲ ἦχος ἐκ τοῦ οὐρανοῦ 170 A
γ[ένηται, οἱ τῆς] Εὐρώπης τοῖς τῆς ἄνω Ἀσίας πο-
λεμήσουσιν. ἐὰν ἡ ἀ[ριστερὰ κεραία] τῆς σελήνης
δόξῃ ὑπερβάλλειν τὴν ἄλλ[ην, αὐχμὸς ἔσται καὶ σίτου]
ἀπορία. ἐὰν ἐν ἡμέρᾳ πρώτῃ τῆς φων[ῆς ...........
...... ἄ]νεμοι τὸν μῆνα καταπν[εύσουσιν].

Σελήνη ταύρῳ. εἰ ἐκλίπῃ ἥλιος, ἐρήμωσιν
ἀπ[ειλεῖ τοῖς ἀνθρώποις. εἰ ἡ σελήνη] ἐπὶ τῆς δευτέ-
ρας φυλακῆς τα[ραχώδης φανῇ, φθορὰ ἀνθρώπων] B
ἔσται. εἰ ἡ σελήνη ἐξ ἴσου τὰς κε[ραίας ἀνίσχουσα
ἔχῃ, θόρυβον] τῇ βασιλείᾳ ἀπειλεῖ· εἰ δὲ κατ[ὰ τὴν]
μί[αν μόνον ἐξέχῃ, θό]ρυβοι ἔσονται καὶ φυγαί. εἰ δὲ
σει[σμὸς γένηται ἀπὸ πρώτης τοῦ] μηνὸς ἕως δωδε- 72 A

v. 9 φανῇ corr. Hercher pro φανῆται || v. 13 κατ-..εχεθειη *C* || v. 18 ἄλλην] H. malit τὴν ἑτέραν || v. 27 τοῦ addidi, quod permittit spatium in *C* || μηνὸς scripsi pro μαίου ||

κάτης, ἀφαίρεςιν τῆς ἀρχῆς τῷ ἡγουμένῳ τοῦ τόπου,
ἐφ᾽ οὗ γενήςεται, καὶ φόβον οὐκ ἀκίνδυνον ἀπειλεῖ.
εἰ δὲ ἀπὸ δωδεκάτης γένηται, οὐ μόνον ἀποκινεῖται
ὁ ἐπιτροπεύων τὸ ἔθνος, ἀλλὰ καὶ ἀπόλλυται. καθο-
λικῶς δέ, ὅποι ἂν ςειςμὸς ἀπὸ δεκάτης ἕως τριακο-
ςτῆς τοῦδε τοῦ μηνὸς ςυμβῇ, θορύβους καὶ πολέμους
ἀποτελεῖ. εἰ ἀπὸ πρώτης φυλακῆς ἕως ἕκτης ςειςμὸς
B γένηται, πολέμου ἐθνικοῦ κίνηςις ἔςται, ὁ δὲ ἡγού-
μενος τοῦ κινήματος ἀναιρεθήςεται.

Σελήνη διδύμοις. εἰ ἔκλειψις γένηται ἡλιακή,
μεταβολὴ ἔςται καὶ ἐπὶ τῶν πραγμάτων [ἕτ]εροι
ἔςονται. εἰ δὲ τῆς πρώτης φυλακῆς ἐκλίπῃ ἡ ςελήνη,
ἀκρίδες ἔςονται· εἰ δὲ ταραχώδης φανῇ, πόλεις πρὸς
πόλεις καταφεύξονται. ἐὰν ὁ τῆς Ἀφροδίτης ἀςτὴρ
ταραχώδης γένηται, ἀνθρώπων φθορὰ ἔςται. ἐὰν
νυκτὸς ἀςτὴρ πέςῃ, κακῶν c■μεῖον, ὥςπερ εἰ ἐν
ἡ[μέρᾳ] ὀφθῇ. ἐὰν πρηςτὴρ πέςῃ, θόρυβος ἔςται
C ταῖς πόλεςι ταῖς πρὸς τὴν ἀνατολήν. εἰ ςειςμὸς γέ-
νηται, χάςματα τοπικὰ ἔςται. ἐὰν ὁμίχλη πυκνωθεῖςα
εἰς γῆν πέςῃ, ςῖτος ἔςται πολύς. εἰ ὁ ἥλιος αἱματώ-
δης γένηται, ἀποβολὴ ἔςται ἀνθρώπων. ἐὰν πνεῦμα
ἐξαίςιον πνεύςῃ ἐπὶ ἑπτὰ ἡμέρας, ςῖτος ἔςται πολύς.
ἐὰν ἀπὸ νεομηνίας ἕως ἐννάτης τοῦ μηνὸς τούτου
74A ςειςμὸς γένηται, φθορὰν ἀνθρώπων ἀπειλεῖ. εἰ δὲ
ἀπὸ ἐννάτης ἕως δεκαεννάτης ςειςμὸς γένηται, ὁ
κρατῶν τῶν πραγμάτων κάκιςτα διαγενήςεται, ἔςτα
δὲ καὶ λιμὸς τοῖς κτήνεςι καὶ ὕδατος λεῖψις. εἰ ἀπ
εἰκοςτῆς ςειςμὸς γένηται, ταπείνωςιν τοῖς διὰ λόγω

v. 2 γενήςεται] corr. Hercher pro γένηται || v. 3 μονο
ουκ *C* || v. 7 post ἕκτης intercidisse ὥρας H. suspicatu
perperam, opinor; sed corruptum esse locum liquet. || v. 1
ante τῆς addi mavolt H. ἐπὶ ||

ἀπειλεῖ, τῷ δὲ τόπῳ ἐναλλαγὴν ἄρχοντος. εἰ ἀπὸ
εἰκοστῆς πέμπτης ἕως τριακοστῆς σεισμὸς γένηται,
χειμῶνας μεγάλους σημαίνει, [καὶ] πόλεμος ἔσται καὶ
ἀπόπτωσις ἄρχον[το]ς κλεινοῦ. εἰ ἐπὶ τῆς τριακάδος B
[σει]σμὸς γένηται, χειμῶνας μεγάλους σημαίνει.

19. [Σελήνη κα]ρκίνῳ. [εἰ] ἡ σελ[ήνη ἀμυδ]ρὰ
ὀφθείη, στράτευμα ἀλλότριον ἐπὶ τὴν βασιλέως ἥ[ξει
χώραν. ἐ]ὰν ἦχος ἐκ τῆς γῆς γένηται, τύραννος ἀναι-
ρεθήσεται. [ἐὰν κε]ραυνὸς πέσῃ εἰς γῆν, πόλεις πα-
ράλιοι ἐρημωθήσον[ται καὶ ἀπ]ορία ἔσται ἀνθρώπων.
ἐὰν ἡ σελήνη αἱματώδης φανῇ, ἄνδρες δυνατοὶ κα- 76 A
κοδαιμονήσουσιν· ἐὰν ἡ [σελήνη ἐξ ἴ]σου ἔχῃ τὰς κε-
ραίας, εἰρήνη ἔσται καὶ εὐθηνία· εἰ δὲ ὑπερέχῃ ἡ ἑτέ-
ρ[α] τὴν ἑτέραν, ὕδατος ἔσται λεῖψις. εἰ σεισμὸς γέ-
νηται ἀπὸ πρωῒ ἕως μεσημβρίας, θεοχολωσίαν ἀπει-
λεῖ· εἰ ἀπὸ ἕκτης ἡμέρας ἕως τριακάδος σεισμὸς γέ-
νηται, τοῖς μὲν πρωτεύουσι τῆς χώρας μετανάστασιν,
τοῖς δὲ λοιποῖς θόρυβον ἀπειλεῖ. εἰ δὲ ἀπὸ πρώτης
φυλακῆς τῆς νυκτὸς ἕως τρίτης ἀρχομένης σεισμὸς B
γένηται, τοῖς μὲν διὰ λόγων ὀφθεῖσιν ἀτιμίαν ἀπειλεῖ,
τοῖς δὲ βιβλίοις φθορὰν καὶ [τοῖς] περὶ τὴν ἀνατολὴν
πολέμους.

Σελήνη λέοντι. εἰ ὁ ἥλιος ἀμαυρὸς γενήσεται,
μέγας ἀνὴρ ἀπολεῖται, ἐπὶ δὲ τῶν πραγμάτων ἕτερος
ἔσται ἀρχικώτερος. εἰ ἡ σελήνη ἀμαυρὰ γέ[νηται] τῇ
ἑωθινῇ φυλακῇ, στράτευμα ἀλλότριον ἐπελεύ[σεται
τῇ τοῦ βασι]λέως χώρᾳ. ἐὰν σεισ[μὸς] γένηται, θόρυβος

v. 1 ἀπὸ εἰκοστῆς πέμπτης corr. H. pro ἀπο ιε || v. 4 κλεινοῦ H. coni. pro καινοῦ, cf. p. 130 A || v. 13 ἡ add. Bekker || v. 16 ἡμέρας scripsi pro ὥρας || v. 18 pro λοιποῖς H. coni. κοινοῖς, quod opponatur τοῖς πρωτεύουσιν || v. 26 H. restituit ex phrasi simili supr. v. 7 ||

C ἔcτ[αι καὶ ἀ]νδρὸc δυ[να]τοῦ ἀναίρεcιc. εἰ κεραυνὸc 78 A πεcεῖται, πόλει[c πα]ράλ[ιοι ἐρημω]θήcονται. εἰ ἡ cελήνη αἱματοειδὴc φανῇ, ἀπώ[λειαν δ]υνατ[ῶν δη]λοῖ. εἰ ἄνεμοc cφοδρὸc πνεύcῃ, τῇ χώρᾳ cυνοίcει. ἐὰν ὁμίχλη [πέcῃ, ἀ]νάγκη cυμπεcεῖται ἀνδρὶ μεγάλῳ. ἐὰν cειcμὸc γένη[ται ἀπὸ] νου[μηνίαc ἕ]ωc δεκάτηc, φόνουc καὶ cτενώcειc καὶ φθορὰν τῶν κτηνῶν ἀπειλεῖ [ἢ λι]μόν, [με]ταλλάξει δὲ καὶ ὁ ἡγούμενοc τῆc B χώραc. εἰ ἀπὸ δεκάτηc ἕωc τριακοcτῆc cειcμὸc [γένηται], cημαίνει μὲν ταραχὰc καὶ φυγάc, ἐλπίδα δὲ ἀγαθῶν. εἰ cειcμὸc γένηται „νύκτα παρ' ἀμφιλύκην", πρὸc μὲν βραχὺ ἀγα[θὰ ἔcται], ἀκολουθήcει δὲ τὰ πάντων ἀλγεινότατα.

Cελήνη παρθένῳ. εἰ ὁ ἥλιοc ἐρυθρὸc γένηται, [cύμ]μαχοι ἀποcτήcονται. εἰ ἡ cελήνη ἀμαυρὰ γένη-80 A ται τῇ πρώτῃ φυλ[ακῇ, φ]θορὰ κτηνῶν ἔcται. εἰ τῇ ἑωθινῇ φυλακῇ τὸ αὐτὸ γένητ[αι, μέγαc ἀνὴ]ρ ἀπολεῖται. εἰ ὁ τῆc [Ἀ]φρο[δί]τηc ἀcτὴρ πληcίον τῇ cε[λήνῃ γένηται, πολέμ]ουc ἐμφ[υλίουc ἀ]πειλεῖ. εἰ πρηcτὴρ πέ[cῃ, αἱ]παράλιοι πόλειc ἀφ[ανιcθήcονται. εἰ ἀπὸ γ]ῆc ἦχοc γένηται, πόλεμον τοῖc παραλίοιc [ἀπει]λεῖ. [εἰ cελήν]ηc ἀνιcχούcηc αἱ κεραῖαι [αὐτῆ]c ἀλλήλαιc πληcιάcωcι, κατο[μβρίαν δηλοῖ] εἰc ἀπώ-B λειαν καρπῶν. εἰ ἐκλίπῃ ἡ cελήνη, μέγαc ἀ[νὴρ ἀ]πολεῖται. εἰ cειcμὸc γένηται, ἀνθρώπων φθορὰν ἀπειλεῖ. εἰ ἐν ἡμέρᾳ ἀcτέρεc φανῶcιν, ἀναίρεcιc ἔcται ἀνθρώπων. εἰ ἄνεμοc βίαιοc πνεύcῃ, εἰρήνην παρ' ὅλον τὸν ἐνιαυτὸν δηλοῖ. εἰ cειcμὸc γένηται ἀπὸ 82 A νουμηνίαc ἕωc ἑβδόμηc, εὐθηνίαν, ἅμα δὲ καὶ βίαιον θάνατον προcδοκητέον καὶ Περcῶν ἔφοδον. εἰ ἀπὸ

v. 11 νύκτα παρ' ἀμφιλύκην] corr. Hercher pro νυκτὸc παρ' ἀμφιλύκῃ coll. Homer. H 433 ||

ὀγδόης ἕως δεκάτης σεισμὸς γένηται, ἔνδειαν σίτου
ἀπειλεῖ. εἰ σεισμὸς γένηται νυκτός, φθορὰν τῶν
πρωτευόντων τοῦ ἔθνους καὶ ἀλλοίωσιν τῶν πραγ-
μάτων ἀπειλεῖ. εἰ πολλάκις γένηται σάλος, ταραχὰς
καθολικὰς προλέγει καὶ τῶν δυναστῶν μετάπτωσιν.

20. Σελήνη ζυγῷ. εἰ ὁ οὐρανὸς ταραχώδης
γένηται ἐπὶ τῆς πρώτης φυλακῆς τῆς νυκτός, λιμὸν
ἀπειλεῖ· εἰ δὲ ἐπὶ δευτέρας, δυτικαὶ πόλεις αἰχμαλω- B
τισθήσονται· εἰ δὲ ἐπὶ τῆς ἑωθινῆς, λικμητὸν ἀνθρώ-
ποις ἀπειλεῖ. εἰ ἦχος ἀπὸ τῆς γῆς γένηται, φθόνους
298 ἀπειλεῖ. εἰ πρηστὴρ πέσῃ, παλαιαὶ πόλεις ἐρημωθή-
σονται. εἰ ὁ ἕσπερος ὑπὸ τῆς σελήνης διέλθῃ, ἀνὴρ
δυνατὸς ἀναιρεθήσεται. εἰ παρὰ πάντα τὸν μῆνα
βίαιος ἄνεμος ῥεύσῃ, ταραχὰς ἀπειλεῖ. εἰ σεισμὸς
ἀπὸ νουμηνίας ἕως δεκάτης γένηται, φθορὰ κτηνῶν
ἔσται καὶ πτῶσις τοῦ ἡγουμ[ένου τῆς] χώρ[ας]· εἰ δὲ
ἀπὸ ἑνδεκάτης ἕως $\overline{λ}$, προνομὴν ἀπειλεῖ τῆ[ς χ]ώρας. C

Σελήνη σκορπίῳ. [εἰ κατὰ τὴν] πρώτην τῆς
νυκτὸς φυλακὴν αἱματώδ[ης ἡ σελήνη φανῇ, ἀν]ταρ-
σίαν καὶ ἑτέρου προαγωγὴν δηλοῖ. εἰ ὁμιχλ[άνῃ ὁ
ἀὴρ ἢ ἐπὶ γῆ]ς ῥίψῃ τὴν ἀχλύν, φθορὰ ἔσται σίτου. 84 A
εἰ δὲ διάττῃ ἀστήρ, [φθορ]ὰν σίτου καὶ ἀνθρώπω[ν
ἀπειλε]ῖ, ὅταν μέντοι ἀπὸ ἀνατολῶν εἰς δυσμὰς ἐκ-
τρέχοι. εἰ δὲ ἦ[χος ἐκ τῆς γ]ῆς γένηται, φυγὴν
ἀπ[ειλεῖ]. εἰ δὲ αἱ κεραῖαι τῆς σελ[ήνης σ]υμ[πέ-
σωσι], σῖτος μὲν ἔσ[ται πολύς, τετρα]πόδων δὲ θά-
[νατος καὶ θηρ]ίων ἔσται. εἰ σεισμὸς γέ[νηται, ἀνὴρ
ἀ]πολεῖ[ται μέγας. εἰ δ' ὁ ἕ]σπ[ερο]ς ἐγγίσῃ τῆς σε-
λήνης, θόρυβοι ἔσονται. B

v. 10 φόνους coni. H. || v. 17 ἀπὸ ἑνδεκάτης corr. H. pro απο $\overline{ιε}$ || v. 21 ῥήξῃ coni. H. pro ῥίψῃ || v. 24 φυγειν *C* ||

Cελήνη [τοξό]τῃ. [εἰ ἡ cελήνη αἱματώδηc φα-
νῇ, πόλ]ει[c μ]εγάλαι ἀνάcτατοι ἔcονται. εἰ ἡ [cελήνη
ἀμαυρὰ γένηται κα]τὰ τὴν πρώτην φυλακὴν ἢ κατὰ
τὴν [μεc]ομ[ηνίαν, οἱ περὶ τὰ βαcί]λεια ταραχθήcον-
86 A ται· εἰ δὲ κ[ατὰ τὴν] δευτέραν φυλακήν, τοῖc ἐν θα-
λάccαιc πόλεμον δηλοῖ· εἰ δὲ τῇ ἑ[ωθι]νῇ, ἀνὴρ δυ-
νατὸc ὑπὸ βαcιλέωc ταραχθήcεται. εἰ κατὰ τὸν αὐ-
τὸν καιρὸν ἡ cελήνη αἱματώδηc φανῇ, cφαγὰc ἀπει-
λεῖ. εἰ πνεῦμα βίαιον παρ' ὅλον πνεύcῃ τὸν μῆνα,
ἄνδρεc μεγάλοι ἀπολοῦνται. εἰ ἀcτὴρ διάττοι ἀπὸ
τοῦ νότου ἐπὶ τὸν βορρᾶν, οὐ μόνον αὐτὸν πνεῦcαι
τὸν νότον ἀλλὰ καὶ πόλεμον τοῖc ἐπιθαλαccίοιc δη-
B λοῖ. εἰ ὁμίχλη πέcῃ εἰc τὴν γῆν, βλαβερὸν τῷ cπό-
ρῳ. εἰ ἐκλείψῃ ἡ cελήνη, φθορὰ ὑποζυγίων ἔcται.
εἰ ἦχοc ἐκ τῆc γῆc γένηται, ἀνθρώπων φυγὴ ἔcται.
εἰ αἱ κεραῖαι τῆc cελήνηc cυμπέcωcι, cῖτοc ἔcται πο-
λὺc καὶ θάνατοc τετραπόδων καὶ φθίcιc ἀνθρώπων.

## ΠΕΡΙ ΒΡΟΝΤΩΝ

C 21. Πολλῶν καὶ ὑπὲρ ἀριθμὸν ὄντων ὅcα τοῖc
φυcικοῖc περὶ βροντῶν ἐδόκει, κέκριται cυμβαίνειν
αὐτὰc ἀπορρηγνυμένων τῶν νεφῶν καὶ ἐπικυλιομέ-
νων ἑαυτοῖc κινήcει cφοδρᾷ, τῇ τε προcρήξει ἐξα-
πτομένων εἰc ἀcτραπὰc καὶ ἤχουc κάρτα βιαίουc, ἀλ-

v. 18 institutio tonitrualis (cap. 21 usque ad 26) extat etiam in *R* fol. 70 vers. et *V*, praeterea in *P*, fol. 183 vers. in quibus inscribitur: προοίμιον (προοίμιον om. *RV*) ἰωάννου λαυρεντίου λυδοῦ φιλαδελφέωc ἐπὶ τῆc βαcιλείαc ὑπάρχοντοc (ὄντοc *RV*) ἰουcτινιανοῦ τοῦ μεγάλου καὶ ἀναcταcίου περὶ βροντῶν || v. 20 — p. 49 v. 2 cf. Lyd. de mens. III 53, ubi omnia deprompta sunt ex Aristot. de mundo p. 395ᵃ 11—14 Bekker. || v. 22 προρρήξει *P* || v. 23 βιαίαc *P* ||

οιοῦςθαι δὲ τὸν ἀνάμεςον τῆς ὑπηνέμου ζώνης καὶ ῆς γῆς ἀέρα. Χαλδαῖοί γε μὴν δυνάμεων ἀερίων ἶναι φωνὰς μὲν τὰς βροντάς φαςι, δρόμους δὲ τὰς στραπάς. τῷ δὲ Ἐπικούρῳ ἀπὸ ξηρᾶς ὀγκώςεως ἐκ 88 A ῆς γῆς, εἶτα ςυγκλειομένης τοῖς ὄρεςι, δίκην τῶν ν τοῖς ςώμαςιν ὄγκων, οὔπω διεξόδων τυχόντων, ῖ ςτρόφους καὶ τροχώςεις ἐμποιοῦςι τῷ κατ' αὐτὸν εγομένῳ κενῷ. οὐδὲ γὰρ δυνάμεων εἶναι πλήρη ὸν ἀνάμεςον οὐρανοῦ καὶ τῆς γῆς δίδωςι χῶρον ατὰ τοὺς Πυθαγορείους. καὶ ἀληθῆ ἀξιοῖ λέγειν τῷ ἢ καθ' ἑτέραν ἢ κατὰ τὴν θερινὸν ὡς ἐκ τοῦ πλείο- B ος ὥραν βροντὰς ἐπιρρήγνυςθαι, καὶ διαφερόντως κδίδοςθαι ξηροτέρας, ἡνίκα βαθείας οὔςης τῆς ἐν τῷ έςῳ χώρας ὄρεςιν ὑψηλοῖς ὁ τόπος ἐκκλείοιτο. καὶ μα μὲν οὖν αὐτοῖν ἑκάτερον γίνεται, ἦτε βροντὴ ἤ ε ἀςτραπή· ἐπειδὴ δὲ ὀξυτέρα τῆς ἀκοῆς ἡ ὄψις τῷ ᾶττον ἐπὶ πᾶν ἐκτείνεςθαι, πρώτην ὁρᾶςθαι πολλάις ςυμβαίνει τὴν ἀςτραπήν.

22. Πᾶςα δὲ βροντή, καὶ τούτων αἱ μετέωροι C αἳ διηχέςταται μάλιςτα, ςημαίνουςί τι, καὶ διαφε-

v. 1 ἐπηνέμου *P* || v. 3 φαςι om. *P* || δρόμον *P* || v. 4 ῶν δ' ἐπικούρων *P* || v. 4—8 cf. Laert. Diog. X 100 et 03 || v. 5 ἐγκλειομένης *C* || v. 6 διεξόδου *P* || v. 7 οἳ om. ' || αὐτῶν *C*, αὐτοὺς *R* || v. 9 τῆς om. *P* || v. 10 ἀληθῆ m. *C* || τῷ] τὸ *C* || v. 11 θερινὴν *P* || v. 12 ὁρᾶν *PRV* || . 14 ἐγκλείοιτο malit H. || v. 15 αὐτοῖν] sic *P*, αὐτὸν ceari || ἦτε βροντὴ] corr. Hercher, ἡ βροντὴ *C*, ἦτε βροντὴ *P* || τε ἀςτραπή *P* || v. 14—18 Plin. II 142. *fulgetrum prius cerni uam tonitrum audiri, cum simul fiant, certum est nec mirum, uoniam lux sonitu velocior.* cf. Aristot. meteor. II 9, 9. || . 17 ἐπανεκτείνεςθαι *P* || v. 19 Plin. II 142. *laeva prospera xistumantur, quoniam laevaparte mundi ortus est.* || ἔρωροι *C* ||

ρόντως ἐκ τοῦ ἀριστεροῦ μέρους τοῦ κόσμου· τοῦτο δ' ἂν εἴη τὸ νότιον. αἱ γὰρ πρὸς νότου εἰσὶ θειότεραι κατὰ τὸν ποιητήν, ἐπεὶ καὶ πρὸς τοῦ τῆς γῆς ἐφόρου ἐπιτροπεύεται, ὡς Αἰγυπτίοις δοκεῖ, τοῦ Κρόνου λέγω, ὥσπερ τὸ βόρειον ὑπὸ τοῦ τῆς γενέσεως αἰτίου· ὅθεν καὶ πρὸς νότον τὰ ἱερὰ ἀπευθύνεσθαι

D σθαι Ἑβραίοις καὶ Αἰγυπτίοις δοκεῖ. τὰ δὴ οὖν χρησιμώτατα τῶν περὶ τούτου θεωρημάτων καταμαθὼν καὶ τῶν κιβδήλων ἐκκαθάρας τὴν θεωρίαν ὑποθήσω τῷ λόγῳ· ποικίλης γε μὴν οὔσης καὶ πολυσχιδοῦς τῆς θεωρίας, τέως χρειῶδες διαρθρῶσαι τὴν παράδοσιν.

90 A οἱ μὲν δὴ παλαιοὶ τῶν περὶ ταῦτα σπουδαίων πρὸς τὴν σελήνην καὶ τὰς ἐν αὐτῇ φάσεις τὸν περὶ βροντῶν σκοπὸν ἀπευθύνουσιν, ἐπεὶ καὶ μᾶλλον ἐπιβέβηκεν αὕτη τῷ γένει τῷ παντὶ καὶ πάντα προσεχῶς διοικεῖται δι' αὐτῆς, ὅθεν καὶ τύχη πρός τινων καὶ πρόνοια λέγεται· οἱ δὲ Αἰγύπτιοι πρὸς ἥλιον καὶ τοὺς τῶν ἐν οὐρανῷ ζῳδίων οἴκους τὸν στοχασμὸν ἁρμόζειν

B ζειν διισχυρίζονται. καὶ οἱ μὲν καθ' ἑκάστην ἡμέραν τοῦ ἡλιακοῦ μηνός, οἱ δὲ ὡσαύτως ἐφήμερον τὸν σεληνιακὸν μῆνα διαλαμβάνουσι. καὶ οὗτοι μὲν πρὸς τὰ ζῴδια τὸν ἥλιον, ἐκεῖνοι δὲ τὴν σελήνην ἀνιχνεύουσιν. ὥστε χρειῶδες πάντων ἀνὰ μέρος καὶ μὴ ὑφ' ἓν ἐπιμνησθῆναι, καὶ πρῶτον τῶν ἡλιακῶν σημείων· δεῖ γὰρ ἥλιον κάλλει καὶ δυνάμει τὴν πᾶσαν διακόσμησιν ἀναβεβηκότα, καὶ τοσούτῳ κρείττονα τῶν

v. 1 ante ἐκ H. αἱ addi mavolt. || v. 2 νότου scripsi ex Homero pro νότον || v. 3 κατὰ] καὶ *C* || verba sunt Homeri ν 111 „αἱ δ' αὖ πρὸς νότου εἰσὶ θεώτεραι." || v. 10 ποικίλης *P*, ceteri ποικίλως || v. 12 μὲν δὴ om. *CP* || v. 13 τὴν σελήνην καὶ] om. *C* || αὐτοῖς *P* || τὸν] τῶν *C* || v. 14 σκοπῶν *C* || v. 23 πάντων om. *P* || μὴ add. *P* || v. 26 τοσοῦτον *P*

αἰϲθητῶν ὅϲῳ τἀγαθὸν τῶν νοητῶν, κἀνταῦθα τὰ
πρῶτα λαβεῖν.

23. Ὁ ἥλιοϲ αἰγοκέρωτι μηνὶ Ἰανουαρίῳ. C
ἡλίου πρὸϲ αἰγόκερων παριόντοϲ, εἰ βροντὴν ἐπιρρα-
γῆναι ϲυμβαίη, ἀχλὺϲ ἔϲται παχεῖα καὶ καπνώδηϲ,
ὡϲ ἀώρουϲ τοὺϲ καρποὺϲ ἐναπομαρανθῆναι τοῖϲ φυ-
τοῖϲ, καὶ ἄποιοϲ ὁ οἶνοϲ. εἰ δὲ μέχρι τῆϲ ἐπιτολῆϲ
τοῦ κυνὸϲ ἡ ἀχλὺϲ ἐπιμένοι, ἐπίνοϲοϲ ὁ ἐνιαυτὸϲ D
ἔϲται καὶ ϲίτου ἐνδεήϲ. διαφερόντωϲ δὲ ταῦτα ϲυμ-
βήϲεται ἐπί τε Μακεδονίαϲ Θρᾴκηϲ Ἰλλυρίδοϲ καὶ τῆϲ
ἄνω Ἰνδικῆϲ Ἀριανῆϲ τε καὶ Γεδρωϲίαϲ· καὶ γὰρ αὗ-
ται ὑπὸ τὸν αἰγόκερων. ταραχαὶ δὲ καὶ φόβοι τοῖϲ
θήλεϲι τῶν ζῴων, λογικῶν τε καὶ ἀλόγων, ἐπιγενή- 92A
ϲονται, ὅτι θῆλυ ζῴδιον ὁ αἰγόκερωϲ.

Ὁ ἥλιοϲ ὑδροχόῳ μηνὶ Φεβρουαρίῳ. ἡλίου
ἐπὶ ὑδροχόον ἰόντοϲ εἰ βροντὴν γενέϲθαι ϲυμβαίη,
Cαυρομάταιϲ Ὀξιανοῖϲ Cογδιανοῖϲ, Ἀραβίᾳ μικρᾷ,
Ἀζανίᾳ μέϲῃ, Αἰθιοπίᾳ (ὑδροχόῳ δὲ ἀνάκεινται αὗται
αἱ χῶραι) ἀφθονίαν μὲν τοῦ ϲίτου διαϲημαίνει, πτῶ-
ϲιν δὲ ἀνδρῶν ἐνδόξων ἐν ταῖϲ εἰρημέναιϲ διαφαινο- B
μένων χώραιϲ, καὶ οὐκ ἀνδρῶν μόνον ἀλλὰ καὶ τῶν
ἐν τοῖϲ ἄλλοιϲ ζῴοιϲ ἀρϲενικῶν, ὅτι ἄρρεν ζῴδιον ὁ
ὑδροχόοϲ.

v. 1 ὅϲον *P* || κἀνταῦθα πρῶτον *PV* || ante v. 3 add. rubr. *P:* βροντοϲκοπία ἐκ τῶν φωτίου (corrige φοντηίου) τοῦ ῥωμαίου κατ' ἑρμηνείαν πρὸϲ λέξιν ἰωάννου λαυρεντίου λυδοῦ. || v. 3 ὁ ἥλιοϲ — Ἰανουαρίῳ] μηνὶ ἰανουαρίω περὶ βροντῶν ἐκ τοῦ ἡλίου *P* || ante ἡλίου add. rubr. τοῦ *P* || v. 4 πρὸϲ] τὸν *P* || v. 8 ἐπιμένει *P* || v. 10 ante Θρᾴκηϲ add. καὶ *P* || v. 11 ἀδριανῆϲ *P* || γεδρουϲίαϲ *P* || v. 15 ante ἡλίου add. τοῦ *P* || v. 16 βροχὴν *C* || v. 17 ϲουγδιανοῖϲ *P* || ἀραβία μικρά, ἀζανία, μέϲη αἰθιοπία *P* ||

Ὁ ἥλιος ἰχθύσι μηνὶ Μαρτίῳ. ἡλίου ἰχθύσι γενομένου εἰ τυχὸν ἐν ἡμέρᾳ βροντὴ γένηται, ὁ ἄμητος ἔσται γεννημάτων ἀφθονώτατος, οἵ τε ὑγροὶ καρποὶ οὐχ ἥκιστα ἐπιδώσουσιν ἐπί τε τῆς καθ' ἡμᾶς Λυδίας Κιλικίας Παμφυλίας Φαζανίας Νασαμωνίτιδος C καὶ Γαραμαντικῆς (καὶ γὰρ ὑπὸ τοῖς ἰχθύσιν αἱ χῶραι). τὰ δὲ θήλεα τῶν ζῴων ἀπὸ λογικῶν ἕως ἀλόγων σκυθρωπάσει ὅτι θῆλυ ζῴδιον οἱ ἰχθύες.

24. Ὁ ἥλιος κριῷ μηνὶ Ἀπριλίῳ. ἡλίου ἐπὶ τὸν κριὸν ἀνιόντος εἰ βροντὴν γενέσθαι συμβαίη ἀλλὰ μὴ βροχὴν ἐπακολουθῆσαι, ἐπὶ Βρεταννίας, Γαλατίας, D Γερμανίας, Βασταρνῶν, Συρίας κοίλης, Ἰουδαίας, Ἰδουμαίας πτῶσις ἀνθρώπων ἔσται θόρυβοί τε κατὰ πόλεις καὶ πνιγμοὶ καὶ αὐχμοὶ καὶ τῶν φυτῶν ἀκαρπία, καὶ διαφερόντως τῶν ἀρρενωπῶν, ὅτι ἄρρεν ζῴδιον ὁ κριός.

Ὁ ἥλιος ταύρῳ μηνὶ Μαΐῳ. κατὰ τοῦτο τοῦ 94 A καιροῦ εἰ βροντὴν ἐπιτροχάσαι συμβαίη, ἔνδειαν τῶν ἐπιτηδείων προσδοκητέον, οὐχ ἥκιστα δὲ τὰ ἀκρόδρυα ἀποτεύξεται· καὶ γὰρ ἁπαλὰ καὶ ὡς πρὸς τοὺς ἄλλους καρποὺς μαλακώτατα. οὐδὲν δὲ ἧττον καὶ

v. 1 post Μαρτίῳ add. *P* rubr. ἔτι καὶ φεβρ. || ante ἡλίου add. rubr. *P* τοῦ || v. 2 τύχοι *P* || βροντὴν γενέσθαι *P* || ὁ om. || v. 6. 7 ita interpunxi et τὰ δὲ ex *P* scripsi; ceteri post ἐπιδώσουσιν (v. 4) interpungunt et τὰ δὲ omitt. || θηλυκὰ *P* || v. 8 σκυθρωπάζει *C*, σκυθρωπάσῃ *P* || v. 9 Ἀπριλίῳ] μαρτί. καὶ ἀπριλλ. rubr. *P* || ante ἡλίου add. τοῦ rubr. *P* || v. 12 Βασταρνῶν corr. H. p. 325 pro Βαστάρνων || v. 12 κοίλης Συρίας *P* || v. 14 καὶ ante τῶν om. *P* || v. 16 ζῴδιον ἄρρεν *P* || v. 17 Μαΐῳ] ἀπριλλ. καὶ μάιος rubr. *P* || κατὰ τοῦτα τοῦ καιροῦ] τοῦ (rubr.) ἡλίου ταύρῳ ὄντος *P* || v. 18 ἐπιτροχάσαι] γενέσθαι *P* || v. 20 ἐπιτεύξεται *PR* ||

:όλεις αἱ πρὸς τῇ θαλάττῃ πολεμίοις παραστήσονται, πί τε τῶν Κυκλάδων καὶ τῶν παραλίων τῆς μικρᾶς Ἀσίας (καὶ γὰρ Ἀφροδίτης ἡ θάλαττα), Κύπρου Μηδίας τε καὶ Περσίδος αὐτῆς, ἐπεὶ καὶ μαλακώτερα τὰ B θνη, ὅτι θῆλυ ζῴδιον ὁ ταῦρος. ταύτῃ γὰρ καὶ ταῦρος Εὐρώπης ἐρασθῆναι λέγεται, ὅτι τοῦ ἀνατολικοῦ έντρου κριῷ, ἔστι δ' ὅπου καὶ πρὸ αὐτοῦ, νέους ρῶντος καρποὺς μόλις Εὐρώπη ὑπὸ τῷ ταύρῳ λέπει.

Μηνὶ Ἰουνίῳ. εἰ ἐν διδύμοις ἡλίου ὄντος ροντὴν γενέσθαι συμβαίη, ὑγρῶν μὲν καὶ ξηρῶν αρπῶν ἀφθονίαν ἐλπιστέον, ἀνδρὸς δὲ δυνατοῦ θρόαν ἀπόπτωσιν. Ὑρκανία δὲ καὶ Ἀρμενίαι δύο, Ἀμαδιανή, Μαρμαρική, Αἴγυπτος ἡ κάτω, παρὰ τὰς C λλας χώρας ἀτυχήσουσι, καὶ διαφερόντως περὶ τοὺς νδρας· καὶ γὰρ ἀρσενικὸν ζῴδιον οἱ δίδυμοι καὶ ἀνρωποειδὲς καὶ φίλιον.

25. Μηνὶ Ἰουλίῳ. ὅτι μὲν ὁ μὴν Κουϊντίλιος ὗτος τὸ πρὶν ὠνομάζετο, πρὸς δὲ τιμῆς Ἰουλίου Καίσαρος εἰς ταύτην μετετέθη τὴν προσηγορίαν, εἰς :λάτος ἡμῖν εἴρηται ἐν τῇ περὶ Μηνῶν πραγματείᾳ. D ἰ τοίνυν καρκίνῳ ἡλίου γενομένου βροντὴν γενέσθαι υμβαίη, οἴνου μὲν δαψίλεια, τοῦ δὲ ἀέρος ξηρότης σται. νόσοι τε φρικώδεις καὶ πυρεκτικοὶ καὶ κινδύ-

v. 3 θάλασσα, κύπρου τε, μηδίας καὶ *P* || v. 8 ὁρῶν οὺς *P* || τῷ om. *P* || v. 9 βλέπει] ὁρᾷ *PR* || v. 10 Ἰουνίῳ - βροντὴν] μάιος καὶ ἰουν. τοῦ (huousque rubr.) ἡλίου ιδύμοις ὄντος εἰ βροντὴν *P* || v. 13 ὑρκανίαι *P* || v. 15 ἄλας] ἄκρας *PV* || v. 18 Ἰουλίῳ — οὗτος] ἰουν. καὶ ἰουλ. ὁ iucusque rubr.) μὴν οὗτος κυντίλιος *P* || v. 20 εἰς πλάτος — ραγματείᾳ] om. *P* || v. 21 legitur ap. Lyd. de mens. IIII 63 || . 22 ἡλίου τοίνυν γινομένου ἐν καρκίνῳ εἰ βροντὴν *P* ||

νων ἐγγὺς ἐπί τε Βιθυνίας καὶ Φρυγίας ὅλης, Κολχι-
90 λκῆς, Νουμιδίας, Καρχηδόνος καὶ Ἀφρικῆς ταῖς θη-
λείαις διαφερόντως προσπεσοῦνται. φθαρήσεται δὲ καὶ τὰ ἐνάλια τὰ ὀστρακώδη μάλιστα· καὶ γὰρ θῆλυ ζῴδιον καὶ σελήνης οἶκος ὁ καρκίνος.

Μηνὶ Αὐγούστῳ. Σεξτίλιος τὸ πάλαι καὶ οὗτος ὁ μήν· Αὔγουστος δὲ τῷ ἴσῳ τρόπῳ πρὸς μνήμης Αὐγούστου Καίσαρος μετεκλήθη, ὡς ἡ ἱστορία λέγει. ἐφ' οὗ ἡ βροντὴ γενομένη ἡλίου ὄντος ἐν λέοντι θόρυβον ἐξαίσιον τοῖς πράγμασι καὶ φθο-
B ρὰν τοῖς καρποῖς ἐκ θηρίων ἀπειλεῖ ἐπί τε Ἰταλίας Γαλλιῶν Σικελίας Φοινίκης Ὀρχηνίας ἤτοι Ἀντορχηνίας. οὐχ ἥκιστα δὲ ταραχθήσονται οἱ ἄνδρες τῶν ἐθνῶν τούτων· καὶ γὰρ ἄρρεν ζῴδιον ὁ λέων.

Μηνὶ Σεπτεμβρίῳ. ἡλίου παρθένῳ γενομένου εἰ βροντὴν γενέσθαι συμβαίη, φθορὰν ζῴων εὐλαβητέον, ἁρπαγάς τε πολεμίων καὶ ἀνδραποδισμοὺς ἀνήβων, καὶ διαφερόντως τῶν παρθένων, ἐπειδὴ

v. 1 ἐπί τε] ἐπὶ τῆς *P* || v. 2 Καρχηδόνος scripsi pro Καρτάπων coll. Lyd. p. 258 *B* et Ptolem. tetrab. II 2, Carteiam vel Cartennam dubitanter proposuit H. || v. 3 φθαρήσεται corr. Hercher pro φθαρήσονται || v. 4 τὰ ante ὀστρακώδη om. *C* || θηλυκὸν *P* || v. 5 ὁ om. *P* || v. 6 ἰουλ. καὶ αὐγουστ. (rubre) *P* || ante Σεξτίλιος transponit καὶ οὗτος ὁ μὴν *P* || πάλαι] πρὶν ὠνομάζετο *P* || v. 7 Αὔγουστος δὲ]-πρὸς δὲ μνήμης Αὐγύστου Καίσαρος *P* || πρὸς—Καίσαρος] om. *P* || v. 8 ὡς—λέγει] αὔγουστος *P* || v. 9 ἡ — γενομένη] εἰ βροντὴ γένοιτο *P* || ἡλίου ὄντος ἐν λέοντι] ex *P* addidi, qui praeterea ante ἡλίου add. τοῦ || v. 11 θηρίων] τῶν θηρείων *P* || v. 12 ἤτοι ἀντορχηνίας om. *P* || v. 15 αὐγουστ. καὶ σεπτεμβρ. rubr. *P* || ante ἡλίου add. rubr. τοῦ *P* || v. 16 βροντὴ *P* || v. 18 τῶν om. *P* || ἐπεὶ καὶ *P* ||

ῆλυ ζῴδιον ἡ παρθένος. ἐπὶ Ἑλλάδος δὲ ταῦτα
ɔμβήσεται, Κρήτης Βαβυλωνίας Μεσοποταμίας καὶ C
οίλης Cυρίας.

26. Ἥλιος ζυγῷ μηνὶ Ὀκτωβρίῳ. ἡλίου ζυ-
ῷ γενομένου ἐὰν βροντὴ γένηται, θορύβους καὶ
τάσεις σφαλερὰς μετὰ δυσμὰς ἡλίου ἀναφθῆναι προ-
έγει, καὶ τῇ ἀμπέλῳ τὴν ἐκ θηρίων βλάβην ἀπειλεῖ,
τί τε Βακτρίας, Κασπίας, Cηρικῆς, Θηβῶν τῶν ἄνω, D
)άσεως, Τρωγλοδυτικῆς. ἡ δὲ ἐκ τοῦ θορύβου βλάβη
ὺ γυναικῶν, ἀνδρῶν δὲ μᾶλλον καθάψεται, ἐπεὶ καὶ
ρρεν τὸ ζῴδιον.

Ἥλιος σκορπίῳ μηνὶ Νοεμβρίῳ. εἰ κατὰ τοῦτο
ɔῦ καιροῦ βροντὴν γενέσθαι συμβαίη, ἀνὴρ μὲν δυ-
ατὸς ἐκ τοῦ πολιτεύματος πεσεῖται, ὁ δὲ σῖτος 98 A
φθονος ἔσται ἐπί τε Κομμαγηνῆς Cυρίας, Κασπίας,
Ιαυριτανίας καὶ Γαιτουλίας. τὸ δὲ θῆλυ γένος τῶν
ῴων κακωθήσεται, καὶ διαφερόντως ἐπὶ τῶν χωρῶν
ɔύτων, ὅτι θῆλυ ζῴδιον ὁ σκορπίος.

Μηνὶ Δεκεμβρίῳ. ἡλίου ἐπὶ τοξότην ἰόντος
βροντὴν ἐπιρραγῆναι συμβαίη, τοῖς Περσῶν βασι-

v. 1 ἐπὶ Ἑλλάδος — συμβήσεται] sic scripsi ex *P*, οὐκ ιτ quattuor vocabula deleta ταῦτα συμβήσεται, ἀλλ' ἐπὶ λλάδος *C*, haec usque ad finem capitis teste Hasio om. *V*, quamquam ipse affert scripturam codicis *R* ad v. 3 || 2 βαβυλῶνος *P* || v. 3 κοίλης] ὅλης *PR*, malim ὅλης ιcσυρίας. || v. 4 σεπτρ. καὶ ὀκτρ. rubr. *P* || τοῦ ἡλίου ὄν-ɔc ἐν ζυγῷ *P* || v. 8 Κασίας *P*, fortasse recte || v. 9 θά-:ωc *CPR* || v. 12 σεπτρ. καὶ ὀκτρ. rubr. *P* || εἰ κατὰ τοῦτο ɔῦ καιροῦ] τοῦ ἡλίου ὄντος ἐν σκορπίῳ *P* || v. 15 καὶ ιte Cυρίας delevi cum *P* cf. p. 258 B; ceteri habent || 16 καὶ ante Γαιτουλίας om. *P* || v. 17 καὶ διαφερόντως] αφερόντως δὲ *P* || v. 19 νοερ. καὶ δεκερ. rubr. *P* || τοῦ ιίου *P* || v. 20 βροντὴ (om. ἐπιρραγῆναι) *P* ||

λεῦϲι κίνδυνοϲ ἐπιπεϲεῖται τῷ τε ἔθνει παντί. ἡ δὲ
B Κελτικὴ πρὸϲ Ἱϲπανίαϲ καὶ Τυρρηνία καὶ ἡ εὐδαίμων Ἀραβία ϲφόδρα ταραχθήϲεται, καὶ διαφερόντωϲ τοῖϲ ὅπλοιϲ, ἐπεὶ καὶ ἄρρην ὁ τοξότηϲ.

v. 1 ἐπιπεϲεῖται] ἐπιϲεῖται *P* || παντί] τί παν *P* || v. 2 τυρρηνίαϲ *P* || τῇ εὐδαίμονι Ἀραβίᾳ *C* || v. 3 καὶ διαφερόντωϲ] οἱ *P* || in *P* secuntur quae p. 156 [A] usque ad p. 168 [D] leguntur, postea Nigidi tonitruale ||

# ΕΦΗΜΕΡΟϹ ΒΡΟΝΤΟϹΚΟΠΙΑ 100

ΤΟΠΙΚΗ ΠΡΟϹ ΤΗΝ ΣΕΛΗΝΗΝ

## ΚΑΤΑ ΤΟΝ ΡΩΜΑΙΟΝ ΦΙΓΟΥΛΟΝ

## ЄΚ ΤΩΝ ΤΑΓΗΤΟϹ

## ΚΑΘ' ЄΡΜΗΝЄΙΑΝ ΠΡΟϹ ΛЄΞΙΝ

27. Εἰ ἐπὶ πάϲαιϲ ταῖϲ τῆϲ διοϲημείαϲ παραδό- A ϲεϲι τὴν ϲελήνην φαίνονται λαβόντεϲ οἱ ἀρχαῖοι (ὑπ' αὐτὴν γὰρ τά τε βροντῶν τά τε κεραυνῶν ἐκδέδοται ϲημεῖα), καλῶϲ ἄν τιϲ ἄρα καὶ τὸν ϲελήνηϲ οἶκον ἐπιλέξαιτο. ὥϲτε ἀπὸ τοῦ καρκίνου καὶ ἐνταῦθα τὴν ἐφήμερον ἀπὸ τῆϲ ϲεληνιακῆϲ νουμηνίαϲ κατὰ τοὺϲ ϲεληνιακοὺϲ μῆναϲ ληψόμεθα τῶν βροντῶν ἐπίϲκεψιν· ἐξ ἧϲ τὰϲ τοπικάϲ, ἐφ' ὧν ῥήγνυνται χωρίων B αἱ βρονταί, παρατηρήϲειϲ οἱ Θοῦϲκοι παρέδοϲαν.

### 107 ΜΗΝΙ ΙΟΥΝΙΩ

Ϲελ. α'. ἐὰν βροντήϲῃ, τῶν καρπῶν εὐφορία ἔϲται, ἐξηρημένων κριθῶν· νοϲήματα δὲ ἐπιϲφαλῆ τοῖϲ ϲώμαϲιν ἐπιϲκήψει.

β'. ἐὰν βροντήϲῃ, ταῖϲ μὲν ὠδινούϲαιϲ ἀπαλλαγὴ μᾶλλον ῥᾳδία, τοῖϲ δὲ θρέμμαϲι φθορά, ἰχθύων γε C μὴν ἀφθονία ἔϲται.

**Nigidi tonitruale edidit Rutgers var. lection. p. 247—260 ex *P* (vid. praefat.) || v. 6 πάϲηϲ *P* || ταῖϲ add. Hercher || v. 9 τὴν ϲελήνην *P* || ἐπιλέξατο *P* || v. 11 post νουμηνίαϲ Hase in comm. de Lydi scriptis etc. p. LI διακοϲμήϲαντεϲ addi volt. || v. 12 λειψόμεθα *P* || v. 13 post τοπικὰϲ add. δὴ *P* || v. 16 ϲελ. om: *P* || ἐφορία *P* || v. 19 βροντῇ *P* || ὠδυνούϲαιϲ *P* ||**

102 A γ'. ἐὰν βροντήσῃ καύσων ἔσται ξηρότατος, ὥστε
μὴ τοὺς ξηροὺς μόνους ἀλλὰ καὶ τοὺς ὑγροὺς καρ-
ποὺς διαφρυγέντας ἀποκαυθῆναι.
δ'. ἐὰν βροντήσῃ, νεφελώδης καὶ ὑετώδης ὁ
ἀὴρ ἔσται, ὡς ἐκ σηπτικῆς ὑγρότητος φθαρῆναι τοὺς
καρπούς.
ε'. ἐὰν βροντήσῃ, ἀπαίσιον τοῖς ἀγροῖς· οἱ δὲ
B χωρίοις ἢ πολίχναις ἐφεστῶτες ταραχθήσονται.
ϛ'. ἐὰν βροντήσῃ, ἀκμάσασι τοῖς καρποῖς ἐντε-
χθήσεταί τι θηρίον τὸ βλάπτον αὐτούς.
ζ'. ἐὰν βροντήσῃ, νοσήματα μὲν ἐνσκήψει, ἀλλ'
οὐ πολλοὶ ἐξ αὐτῶν τεθνήξονται· καὶ οἱ μὲν ξηροὶ
καρποὶ ἐπιτεύξονται, οἱ δὲ ὑγροὶ ξηρανθήσονται.
C η'. ἐὰν βροντήσῃ, ἐπομβρίαν καὶ φθορὰν σίτου
δηλοῖ.
θ'. ἐὰν βροντήσῃ, φθορὰ τοῖς θρέμμασιν ἔσται
ἐξ ἐπιδρομῆς λύκων.
ι'. ἐὰν βροντήσῃ, θάνατος μὲν ἔσται συχνός, εὐ-
θηνία δὲ ὅμως.
ια'. ἐὰν βροντήσῃ, καύματα μὲν ἀβλαβῆ, τὰ δὲ
πολιτικὰ ἐν εὐφροσύνῃ ἔσται.
ιβ'. ἐὰν βροντήσῃ, ὁμοίως ὡς ἐπὶ τῇ πρὸ ταύτης.
D ιγ'. ἐὰν βροντήσῃ, δυνάστου πτῶσιν ἀπειλεῖ.
ιδ'. ἐὰν βροντήσῃ, καυσῶδες μὲν τὸ περιέχον
104 A ἔσται, εὐφορία δὲ τῶν καρπῶν καὶ εὔροια τῶν πο-

v. 1 ἐὰν βροντήσῃ] sic *P*, βροντῆς γενομένης *C* || v. 4 ἐὰν βροντήσῃ] om. *P* et ita semper usque ad finem mensis || v. 9 ἀκμάσασαι *P* || v. 11 μὲν om. *P* || v. 16 φθορὰ] θάνατος *P* || v. 20 τοῖς δὲ πολιτικοῖς *P* || v. 22 hic scribit ἐὰν βροντήσῃ *P* || τῇ πρὸ ταύτης] τῆς ἑνδεκάτης *P* || v. 25 εὔροια — οὐχ] sic corr. Hertz de Nigid. Figul. p. 33 not. 3; εὔροια τῶν ποταμῶν· οὐχ *P*, quod non displicuit Hasio,

μῶν καὶ ἀφθονία τῶν ποταμίων οὐχ ἥκιστα ἰχθύων. σώματά γε μὴν ἐξασθενήσει.

ιε'. ἐὰν βροντήσῃ, τὰ μὲν πτηνὰ λυμανθήσεται ͅ θέρει, οἱ δὲ ἰχθύες φθαρήσονται.

ις'. ἐὰν βροντήσῃ, οὐκ ἐλάττωσιν μόνον τῶν ιτηδείων ἀλλὰ καὶ πόλεμον ἀπειλεῖ, ἀνὴρ δέ τις B τυχῆς ἀφανισθήσεται.

ιζ'. ἐὰν βροντήσῃ, καύματα ἔσται καὶ μυῶν καὶ φαλάκων καὶ ἀκρίδων φορά· εὐθηνίαν δὲ ὅμως ὶ φόνους τῷ δήμῳ φέρει.

ιη'. ἐὰν βροντήσῃ, φθορὰν τῶν καρπῶν ἀπειλεῖ.

ιθ'. ἐὰν βροντήσῃ, τὰ λυμαινόμενα τοῖς καρποῖς C ρία φθαρήσεται.

κ'. ἐὰν βροντήσῃ, διχόνοιαν ἀπειλεῖ τῷ δήμῳ.

κα'. ἐὰν βροντήσῃ, ἐλάττωσιν μὲν οἴνου, ἐπίδοσιν τῶν ἄλλων καρπῶν δηλοῖ καὶ ἀφθονίαν ἰχθύων.

κβ'. ἐὰν βροντήσῃ, ἐπίφθορον ἔσται τὸ καῦμα.

κγ'. ἐὰν βροντήσῃ, εὐφροσύνην καὶ κακῶν ἀπαλ-γὴν καὶ νόσων ἀφανισμὸν δηλοῖ.

κδ'. ἐὰν βροντήσῃ, εὐθηνίαν δηλοῖ. D

κε'. ἐὰν βροντήσῃ, πόλεμοι καὶ μυρία ἔσονται κά.

ut lacunam statueret in phrasi sequenti; εὔροια τῶν ταμίων οὐχ *C* ||
v. 7 εὐτυχεῖς *P* || ἀφανισθήσεται coni. Hercher, ἀφανεῖται ἀναφανεῖται *P* || v. 8 καὶ post ἔσται om. *P* || μυῶν corr. pro μυιῶν coll. p. 120 *A*, 126 *C*, 140 *A*, 146 *A*, 150 *D* is || v. 9 φορά] sic *CP*; id quod Rutgers dedit, φθορά, epit H. || εὐθηνία *P* || ὁμῶς καὶ coni. male H. (coll. α καὶ p. 114 *A* et καὶ ὁμοῦ p. 112 *A*) || v. 10 φόνους suspitionem vocat Hercher || v. 11 φθορὰ *P* || v. 12 τοῖς ρποῖς] sic *P*, τοὺς καρποὺς *C* || v. 18 καὶ ante κακῶν ι. *P* || v. 19 καὶ ante νόσων om. *P* ||

106 A κϛʹ. ἐὰν βροντήσῃ, ὁ χειμὼν τοῖς καρποῖς ἐπιβλαβὴς ἔσται.

κζʹ. ἐὰν βροντήσῃ, κίνδυνος στρατιωτικὸς τοῖς κρατοῦσιν ἔσται.

κηʹ. ἐὰν βροντήσῃ, εὐετηρία ἔσται καρπῶν.

κθʹ. ἐὰν βροντήσῃ, τὰ τῆς βασιλίδος πόλεως ἔσται κρείττονα.

B λʹ. ἐὰν βροντήσῃ, πρὸς βραχὺ θάνατος ἔσται συχνός.

## ΙΟΥΛΙΟΣ

28. αʹ Ἐπὶ τῆς σεληνιακῆς νουμηνίας ἐὰν βροντήσῃ, εὐθηνία μὲν ἔσται, τῶν δὲ θρεμμάτων πτῶσις.

βʹ. ἐὰν βροντήσῃ, καλὸν τῷ φθινοπώρῳ.

γʹ. ἐὰν βροντήσῃ, χειμῶνα βαρὺν σημαίνει.

C δʹ. ἐὰν βροντήσῃ, ἀέριοι ἔσονται ταραχαί, ὡς ἐξ αὐτῶν σπάνιν γενέσθαι.

εʹ. ἐὰν βροντήσῃ, εὐθηνία μὲν σίτου, ἄρχοντος δὲ ἀγαθοῦ πτῶσις ἔσται.

ϛʹ. ἐὰν βροντήσῃ, νόσους θανατηφόρους ταῖς δουλικαῖς τύχαις ἀπειλεῖ.

ζʹ. ἐὰν βροντήσῃ, κατομβρία ἔσται βλαβερὰ τοῖς 31H σπορίμοις.

ηʹ. ἐὰν βροντήσῃ, εἰρήνην μὲν τοῖς κοινοῖς, ὄλεθρον δὲ τοῖς βοσκήμασι καὶ βῆχα ξηρὸν ἐνσκῆψαι δηλοῖ.
D

v. 1 ὁ om. *P* || v. 3 στρατικὸς *C* || v. 5 εὐετηρία] sic etiam *P* || ante καρπῶν add. τῶν *P* || v. 10 μηνὶ Ἰουλίῳ rubre *P* || v. 11 ἐὰν βροντήσῃ (non βροντῇ) habet *P*, sed omittit in reliquis mensis diebus || v. 12 εὐθηνία] ἐλευθερία *P* || v. 15 ὡς — γενέσθαι (v. 16)] om. *P* || v. 20 ψυχαῖς coni. Meursius apud Rutgersium perperam pro τύχαις ||

θ'. ἐὰν βροντήσῃ, ἐποψίαν θεῶν καὶ ἀγαθῶν ›λλῶν πρόοδον δηλοῖ.

ι'. ἐὰν βροντήσῃ, σωτηριώδη ἔσται τὰ ποτάμια 108 A στα.

ια'. ἐὰν βροντήσῃ, καῦμα σημαίνει καὶ ὄμβρον ιιον καὶ σπάνιν σίτου.

ιβ'. ἐὰν βροντήσῃ, ψῦχος τῷ θέρει ἔσται ἀδόκη-ν, δι' οὗ φθαρήσεται τὰ ἐπιτήδεια.

ιγ'. ἐὰν βροντήσῃ, ἑρπετὰ φανεῖται βλαβερώτατα. B

ιδ'. ἐὰν βροντήσῃ, εἰς ἕνα τὴν πάντων δύναμιν θεῖν φράζει· οὗτος δὲ ἔσται τοῖς πράγμασιν ἀδικώ-τος.

ιε'. ἐὰν βροντήσῃ, διχόνοια ἔσται τοῦ δήμου καὶ ὑ σίτου ἔνδεια.

ις'. ἐὰν βροντήσῃ, πόλεμον ὁ τῆς ἀνατολῆς βα-ιεὺς ἐκδεχέσθαι καὶ νόσον ἀπὸ ξηροῦ καύματος.

ιζ'. ἐὰν βροντήσῃ, διαδοχὴν μεγάλου ἄρχοντος C λοῖ.

ιη'. ἐὰν βροντήσῃ, ἔνδειαν καρπῶν ἐξ ἐπομβρίας ;ειλεῖ.

ιθ'. ἐὰν βροντήσῃ, πόλεμον δηλοῖ καὶ ἀπώλειαν νατῶν· ἀφθονία δὲ ἔσται τῶν ξηρῶν καρπῶν.

κ'. ἐὰν βροντήσῃ, αὐχμὸν νοσώδη ἀπειλεῖ.

κα'. ἐὰν βροντήσῃ, διχόνοια ἔσται τοῖς ὑπηκόοις, D λ' οὐκ εἰς μακράν.

v. 1 θείων *P* || v. 2 πρόσοδον coni. Hercher || v. 5 καὶ te ὄμβρον om. *P* || v. 6 καὶ ante σπάνιν om. *P* || v. 8 δι' οὗ] ὶ οὐ *P* || v. 10 τὴν] τῶν *P* || v. 13 καὶ om. *P* || v. 16 ἐκδεχέσθαι post locum laceratum in membrana; H. suspicatur inter-lisse μέλλει et in commate sequenti verbum aliud || v. 19 ομβρίας] sic etiam *P* || v. 20 ἀπειλεῖ] δηλοῖ *C* || v. 22 καρ-ῶν habet etiam *P* || v. 25 μακρὸν *C* ||

κβ'. ἐὰν βροντήσῃ, ἀγαθὰ μὲν τοῖς κοινοῖς π γμασι, νόσους δὲ τοῖς σώμασι περὶ τὴν κεφαλὴν μαίνει.

110 A κγ'. ἐὰν βροντήσῃ, ἡ διχόνοια τοῦ δήμου π θήσεται.

κδ'. ἐὰν βροντήσῃ, δυνατοῦ ἀνθρώπου δηλοῖ νατὸν ἀτύχημα.

κε'. ἐὰν βροντήσῃ, τῇ νεολαίᾳ κακῶς καὶ καρποῖς μετ' αὐτῆς, νοσώδης δὲ ὁ καιρὸς ἔσται.

B κϛ. ἐὰν βροντήσῃ, ἀπὸ μεγάλης εὐθηνίας ἐν ἔσται.

κζ'. ἐὰν βροντήσῃ, ἐκβρασμὸν τοῖς σώμ ἀπειλεῖ.

κη'. ἐὰν βροντήσῃ, ἔνδεια ὑδάτων καὶ ὄχ ἑρπετῶν ἐπιβλαβῶν ἔσται.

κθ'. ἐὰν βροντήσῃ, εὐετηρίαν δηλοῖ.

λ'. ἐὰν βροντήσῃ, οἱ ἄνθρωποι ἐκ ποινηλα ἐπὶ τὰ χείριστα τῶν πταισμάτων ὀλισθήσουσιν.

C

## ΑΥΓΟΥΣΤΟΣ

29. α'. Ἐὰν βροντήσῃ, τὰ τῆς πολιτείας ἠρ πως καλλίονα καὶ εὐθηνία ἔσται.

β'. ἐὰν βροντήσῃ, νόσους ἅμα καὶ ἔνδειαν ἐπιτηδείων ἀπειλεῖ.

γ'. ἐὰν βροντήσῃ, δίκας καὶ λέσχας τῷ δή ἀπειλεῖ.

D δ'. ἐὰν βροντήσῃ, ἔνδεια τροφῶν λογικοῖς καὶ ἀλόγοις ἔσται.

v. 4 ἡ om. *P* || v. 9 ὁ om. *P* || v. 10 ἔσται ἔνδεια v. 14 καὶ om. *P* || v. 18 ὀλισθήσονται *C* || v. 19 μηνὶ Αὐ στῳ rubr. *P* || v. 20 εἰ βροντήσῃ *P*, qui in ceteris me diebus om. || καὶ ante τὰ add. *C* || v. 26 post λογικοῖς add. τ

ε′. ἐὰν βροντήσῃ, τὰς γυναῖκας συνετωτέρας δηλοῖ.

ϛ′. ἐὰν βροντήσῃ, μέλιτος μὲν ἀφθονία ἔσται, 112 A ὕδατος δὲ καὶ τῶν λοιπῶν τροφίμων λεῖψις.

ζ′. ἐὰν βροντήσῃ, ἀνέμους τραχεῖς καὶ νόσους ὁμοῦ σημαίνει.

η′. ἐὰν βροντήσῃ, νόσον ἀκίνδυνον τοῖς τετραπόδοις ἀπειλεῖ.

θ′. ἐὰν βροντήσῃ, ὑγίειαν μὲν ἀνθρώποις ὡς ἐκ τοῦ πλείονος ἐπαγγέλλεται.

ι′. ἐὰν βροντήσῃ, λύπας καὶ μοχθηρίας τῷ πλήθει ἀπειλεῖ. B

ια′. ἐὰν βροντήσῃ, εὐετηρία μὲν ἔσται, πτῶσις δὲ ἑρπετῶν καὶ βλάβη τοῖς ἀνθρώποις.

ιβ′. ἐὰν βροντήσῃ, χόρτου καὶ βαλάνου ἀφθονία ἔσται, τῇ δὲ πρώτῃ ἡλικίᾳ κακῶς.

ιγ′. ἐὰν βροντήσῃ, ὄλεθρος ἔσται τοῖς σώμασι λογικῶν τε καὶ ἀλόγων.

ιδ′. ἐὰν βροντήσῃ, πόλεμον μὲν τοῖς κοινοῖς, C ἀφθονίαν δὲ τοῖς καρποῖς δηλοῖ.

ιε′. ἐὰν βροντήσῃ, ἐπὶ τὸ χεῖρον τὰ πράγματα.

ιϛ′. ἐὰν βροντήσῃ, εἰρήνην βαθεῖαν ἐπαγγέλλεται.

ιζ′. ἐὰν βροντήσῃ, οἱ χείρους τῶν ἀνθρώπων στυγνάσουσιν.

ιη′. ἐὰν βροντήσῃ, πόλεμον ἐμφύλιον ἀπειλεῖ.

ιθ′. ἐὰν βροντήσῃ, φόνους αἱ γυναῖκες καὶ τὸ D δουλικὸν τολμήσει.

v. 1 post συνετωτέρας add. ἔσεσθαι *P* || v. 4 τροφίμων om. *P* || v. 6 ὁμοῦ om. *P* || v. 9 μὲν om. *P* || v. 10 ἐπαγγέλλει *C* || v. 15 post χόρτου add. μὲν *P* || v. 18 τε om. *P* || v. 23 αἱ] εἰ *P* || v. 24 στυγνάζουσιν *P* || v. 26 φονῶσιν coni. Hercher ||

κ΄. ἐὰν βροντήσῃ, ὄλεθρον βοῶν καὶ ταρα) τοῖς πράγμασιν ἀπειλεῖ.

114 A *κα΄. ἐὰν βροντήσῃ, εὐθηνίαν ἅμα καὶ διχόνο τῷ δήμῳ ἀπειλεῖ.

κβ΄. ἐὰν βροντήσῃ, καλὰ μετρίως τὰ πράγμι ἀνὰ πάντα τὸν ἐνιαυτόν.

κγ΄. ἐὰν βροντήσῃ, κεραυνὸν πεσεῖσθαι δηλοῖ φόνους ἀπειλεῖ.

κδ΄. ἐὰν βροντήσῃ, ἀπώλειαν εὐγενῶν νέ ἀπειλεῖ.

B κε΄. ἐὰν βροντήσῃ, χειμῶνα καὶ σπάνιν ὀπωρ ἔσεσθαι προλέγει.

κς΄. ἐὰν βροντήσῃ, πόλεμον σημαίνει.

κζ΄. ἐὰν βροντήσῃ, πολέμους ἅμα καὶ δόλι ἀπειλεῖ.

κη΄. ἐὰν βροντήσῃ, εὐθηνίαν μὲν τῶν καρπ φθορὰν δὲ τῶν βοῶν σημαίνει.

κθ΄. ἐὰν βροντήσῃ, οὐδεμίαν ἐναλλαγὴν σημαί

C λ΄. ἐὰν βροντήσῃ, νόσους τῇ πόλει, ἐφ᾽ ἧς ( γήσεται, ἀπειλεῖ.

## ΣΕΠΤΕΜΒΡΙΟΣ

30. α΄. Ἐὰν βροντήσῃ, εὐετηρίαν ἅμα καὶ ( φροσύνην δηλοῖ.

β΄. ἐὰν βροντήσῃ, διχόνοια τῷ δήμῳ ἔσται.

D γ΄. ἐὰν βροντήσῃ, κατομβρίαν καὶ πόλεμ δηλοῖ.

v. 7 κεραυνοὺς *P* || καὶ φόνους] φόνους δὲ *C* || v. καὶ om. *P* || v. 12 προλέγει] δηλοῖ *P* || v. 19 νόσους τῇ οἷς *P* || v. 21 μηνὶ σεπτεμβρίῳ rubr. *P* || v. 22 ἐὰν βρ τήσῃ hic habet etiam *P*, qui in ceteris mensis die omitt. ||

δ′. ἐὰν βροντήσῃ, δυνατοῦ πτῶσιν καὶ πολέμου παρασκευὴν δηλοῖ.

114 ε′. ἐὰν βροντήσῃ, κριθῆς μὲν ἀφθονίαν, σίτου δὲ 116 A ἐλάττωσιν δηλοῖ.

ϛ′. ἐὰν βροντήσῃ, δύναμις ἔσται ταῖς γυναιξὶ κρείττων ἢ κατ᾽ αὐτάς.

ζ′. ἐὰν βροντήσῃ, νόσον καὶ πτῶσιν τῷ δουλικῷ ἀπειλεῖ.

η′. ἐὰν βροντήσῃ, τοὺς μάλιστα δυνατοὺς τοῦ πολιτεύματος σκολιὰ ἐννοεῖν, ἀποτεύξεσθαι δὲ τῶν B νοουμένων κατηγορεῖ.

θ′. ἐὰν βροντήσῃ, ἄνεμον πνεῦσαι ἐπίνοσον ἀπειλεῖ.

ι′. ἐὰν βροντήσῃ, ἔρις ἔσται τῷ τόπῳ ἐφ᾽ οὗ ῥαγήσεται πρὸς ἕτερον οὐκ ἄλογος.

ια′. ἐὰν βροντήσῃ, οἱ ὑπεξούσιοι τῶν εὐγενῶν σκέψονταί τι καινὸν ἐν τοῖς κοινοῖς.

ιβ′. ἐὰν βροντήσῃ, ἔπομβρον τὸν τοῦ ἀμητοῦ C καιρὸν καὶ λιμὸν ἔσεσθαι λέγει.

ιγ′. ἐὰν βροντήσῃ, λιμὸν βαρὺν ἀπειλεῖ.

ιδ′. ἐὰν βροντήσῃ, νόσους ἀπειλεῖ.

ιε′. ἐὰν βροντήσῃ, κατομβρίαν μὲν δηλοῖ, εὐθηνίαν δὲ ὅμως.

ιϛ′. ἐὰν βροντήσῃ, ὁ σπόρος πολύς, ἄκαρπος δὲ δηλοῦται.

ιζ′. εἰ βροντήσῃ, ἔνδειαν τῶν ἀναγκαίων ἀπειλεῖ. D

v. 2 δηλοῖ] δι᾽ αὐτὴν ἔσεσθαι *P* || v. 7 τῶν δουλικῶν *P* || v. 8 ἐξ αὐτῆς ante ἀπειλεῖ del. Hercher || v. 10 ἐυνοεῖ *P* || v. 11 νοουμένων coni. Hercher pro ἐσομένων || v. 14 ῥαγήσεται corr. Hercher pro ῥήγνυτο || v. 16 τι καινὸν corr. H., τι κοινὸν *C*, τὸ κοινὸν *P* || ἐπὶ τοῖς κοινοῖς *P*, ἐπὶ τοῖς κακοῖς coni. Rutgers || v. 17 ἔπομβρον *P*, ἐπομβρίαν *C* || v. 19 βαρεῖαν *C* || v. 25 ἀπειλῶν *P* ||

ιη'. εἰ βροντήσῃ, λιμὸν ἅμα καὶ πολέμους σημαίν

118 A ιθ'. εἰ βροντήσῃ, ὁ μὲν δενδρώδης καρπὸς ἐτ τεύξεται, νόσοι δὲ καὶ στάσεις δημοτικαὶ ἔσονται.

κ'. εἰ βροντήσῃ, ἀπώλειαν κλεινοῦ ἀνθρώπ καὶ πόλεμον ἀπειλεῖ.

κα'. εἰ βροντήσῃ, λύπας καὶ ζημίας τῷ δήμ ἀπειλεῖ.

κβ'. εἰ βροντήσῃ, εὐθηνίαν μέν, χειμῶνα δὲ β ρὺν καὶ ὑγρὸν σημαίνει.

B κγ'. εἰ βροντήσῃ, τὸν χειμῶνα τοῦ ἔτους ἐνδ προλέγει.

κδ'. εἰ βροντήσῃ, λειψυδρίαν ἀπειλεῖ. τῶν ἀκροδρύων εὐφορία ἔσται, περὶ δὲ τὸ φθινόπωρ θυέλλαις διαφθαρήσεται.

κε'. εἰ βροντήσῃ, ἐκ διχονοίας τοῦ πολιτεύματ τύραννος ἀναστήσεται, καὶ αὐτὸς μὲν ἀπολεῖται, ζ

C μίαις δὲ ἀφορήτοις οἱ δυνατοὶ ὑποστήσονται.

κϛ'. εἰ βροντήσῃ, ὁ κακὸς δυνάστης βουλῇ θε πεσεῖται.

κζ'. εἰ βροντήσῃ, δυνατοὶ πρὸς ἑαυτοὺς διενεχθ σονται καὶ ἀλλήλους διαβαλοῦσιν.

κη'. εἰ βροντήσῃ, σημεῖα ἔσται πραγμάτων μ γάλων μηνυτικά. εὐλαβητέον δὲ μὴ καὶ πῦρ ἐπο βρήσῃ ἐνιαχοῦ.

D κθ'. εἰ βροντήσῃ, αὐχμὸν ἐπιβλαβῆ ἀπειλεῖ.

v. 5 ἀπειλεῖ] σημαίνει *P* || v. 10 ἐνδεῆ *P* || v. 12 λει δρίαν *P* || τῶν δὲ ἀκροδρύων] sic scripsit H., τῶν ἀκ δρύων *P*, τῶν δέκα ἀκροδρύων *C* || v. 14 διαφθαρήσεται co Hercher pro διαφθαρήσονται || v. 18 θεοῦ βουλῇ *P* || v. 21 δ βαλοῦσιν coni. H., διαλαβοῦσιν *P*, διαλάβωσιν *C* || v. 22 ἔσται *P*, ἐστι mavolt Rutgers || v. 23 πυρὶ ἐπομβρίσει *C* v. 24 ἐνιαχοῦ corr. H. pro ἰαχοῦ ||

λ΄. εἰ βροντήσῃ, ἀπὸ χειρόνων ἐπὶ τὰ κρείττω ὰ κοινά.

## ΟΚΤΩΒΡΙΟΣ

120 A

31. α΄. Εἰ βροντήσῃ, κακὸν τύραννον τοῖς πράμασιν ἀπειλεῖ.

β΄. εἰ βροντήσῃ, εὐθηνία μὲν ἔσται, φθορὰ δὲ ὧν χερσαίων μυῶν.

γ΄. εἰ βροντήσῃ, θυέλλας καὶ ταραχὰς δηλοῖ, δι᾽ ἰν τὰ μὲν δένδρα φθαρήσεται· μεγάλων δὲ ζαλῶν B σται τοῖς κοινοῖς μήνυμα.

δ΄. εἰ βροντήσῃ, οἱ ἐλάττους τὰ τῶν κρειττόνων αθέξουσιν, ὑγιεινὸν δὲ ἔσται τὸ τοῦ ἀέρος κατάτημα.

ε΄. εἰ βροντήσῃ, πάντων ἐπιδόσεις τῶν ἀναγαίων, ἐξῃρημένου σίτου.

ϛ΄. εἰ βροντήσῃ, ἡ ὄψις μὲν εὐθηνίας, ἀμητὸς C ὲ ἐλάττων, καὶ τὸ φθινόπωρον ἐγγὺς ἄκαρπον.

ζ΄. εἰ βροντήσῃ, ὄσπρια μὲν ἄφθονα, οἶνος δὲ λάττων ἔσται.

η΄. εἰ βροντήσῃ, σεισμὸν μετὰ μυκήματος προσδοητέον.

θ΄. εἰ βροντήσῃ, ὄλεθρον θηρίοις ἀπειλεῖ.

ι΄. εἰ βροντήσῃ, ἀνδρὸς ἐπαινουμένου πτῶσιν ηλοῖ.

ια΄. εἰ βροντήσῃ, ἀλληλανεμίαν ἐπωφελῆ ταῖς D οτάναις δηλοῖ.

**v. 1 ἐπὶ τὰ κρείττονα κοινά *P* || v. 3 μηνὶ ὀκτωβρίῳ abr. *P* || v. 4 εἰ βροντήσῃ hic habet *P*, qui omitt. per eterum mensem || v. 7 μυῶν corr. H. pro μυιῶν, quod st in utroque cod. || v. 11 οἱ] εἰ *P* || τὰ add. H. || v. 12 γιεινόν τε *P* || ἔαρος *P* || v. 14 ἐπίδοσις *P* || v. 16 ἡ — εὐηνίας] om. *P* || v. 17 καὶ om. *P* ||**

ιβ΄. εἰ βροντήσῃ, εὐθηνία μὲν ἔσται, σκηπτοὶ δὲ ἐκθλιβήσονται.

122 A ιγ΄. εἰ βροντήσῃ, καλὰ τὰ συναλλάγματα, καὶ εὐθηνία πρὸς αὐτοῖς· ὁ δὲ ἐπὶ τῇ πολιτείᾳ βαρὺς οὐκ ἐπὶ πλέον ἰσχύσει.

ιδ΄. εἰ βροντήσῃ, πόλεμον καὶ φθορὰν βοσκημάτων ἀπειλεῖ.

ιε΄. εἰ βροντήσῃ, σπάνις ἔσται πνεύματος ξηροῦ
B καὶ καυστικοῦ ἐμπίπτοντος τοῖς καρποῖς.

ιϛ΄. εἰ βροντήσῃ, ἐξασθενήσουσιν οὕτως ἄνθρωποι ὡς ἄγνωστοι εἶναι δοκεῖν.

ιζ΄. εἰ βροντήσῃ, πλουσίου ἀνδρὸς καὶ εὐγενῶν εὐτυχήματα.

ιη΄. εἰ βροντήσῃ, ἐπείσακτον εὐθηνίαν δηλοῖ.

C ιθ΄. εἰ βροντήσῃ, δυνάστου πτῶσιν ἢ βασιλέως ἐκβολὴν ἀπειλεῖ, διχόνοιάν τε τῷ δήμῳ καὶ ἀφθονίαν δηλοῖ.

κ΄. εἰ βροντήσῃ, ἕλκη ξένα ἀπειλεῖ, τῷ δὲ πλήθει ἐκ διχονοίας ἐσχάτην ἀτυχίαν.

κα΄. εἰ βροντήσῃ, νόσοι βηχώδεις ἔσονται καὶ στηθῶν κακώσεις.

κβ΄. εἰ βροντήσῃ, μοχθηρίας τῷ δήμῳ καὶ νόσους ποικίλας ἀπειλεῖ.

D κγ΄. εἰ βροντήσῃ, ὁ δῆμος εὐφρανθήσεται παραδόξως.

v. 1 δὲ σκολιαὶ βήσονται *C* || v. 8 σπάνη *C* || v. 10 ἀσθενήσουσιν οὕτως οἱ *P* || v. 11 ἄγνωστοι coni. Hercher pro ἀγνώστους || v. 12 λουσίαν (αν corr. in ου) *P*, sed ante λ spatium pro rubric., οὐσίαν coni. Rutgers || v. 14 ιη΄ om. *P* et postea ιη΄ ponit pro ιθ΄, ιθ΄ pro κ΄ etc. usque ad finem mensis || πείσακτον *P*, sed ante π spatium pro rubr. || v. 15 δυνατοῦ *P* || v. 16 τε om. *P* || v. 17 δηλοῖ scripsi pro ἀπειλεῖ || v. 18 post ἀπειλεῖ add. τοῖς ἀνθρώποις *P* || v. 21 ante κακώσεις add. καὶ *P* ||

κδʹ. εἰ βροντήσῃ, ἐκ διχονοίας τῶν κρατούντων ›ῆμος περιέσται.

κεʹ. εἰ βροντήσῃ, βαρεῖα ἔσται ἀπὸ τῶν κακῶν 124A
.λία.

κϛʹ. εἰ βροντήσῃ, αὐξηθήσεται μὲν τὰ θηρία, λι- ›ξει δὲ ὅμως.

κζʹ. εἰ βροντήσῃ, ἐπομβρίαν δηλοῖ.

κηʹ. εἰ βροντήσῃ, ἔνδεια ἔσται τῶν ἀναγκαίων.

κθʹ. εἰ βροντήσῃ, ἐπίνοσος ὁ ἐνιαυτός.

λʹ. εἰ βροντήσῃ, οὐκ εὐθηνίαν μόνον ἀλλὰ καὶ B
ἥττωσιν τῶν πολεμίων καὶ εὐφροσύνην τοῖς πρά- ασι δηλοῖ.

## ΝΟΕΜΒΡΙΟΣ

32. αʹ. Εἰ βροντήσῃ, διχόνοιαν δηλοῖ τῇ πόλει.

βʹ. εἰ βροντήσῃ, εὐθηνίαν προλέγει.

γʹ. εἰ βροντήσῃ, πράγματα ἀναφύεται, δι᾽ ὧν C
ἐλάττους περιέσονται τῶν μειζόνων.

δʹ. εἰ βροντήσῃ, κρείττων ὁ σῖτος.

εʹ. εἰ βροντήσῃ, ζάλην τοῖς πράγμασι δηλοῖ, αἰ- ητοῖς τε καὶ ἀλόγοις νόσον.

ϛʹ. εἰ βροντήσῃ, σκώληκες τῷ σίτῳ λυμανοῦνται.

ζʹ. εἰ βροντήσῃ, τοῖς ὑπὸ τὴν δύσιν ἀνθρώποις D
καὶ ἀλόγοις νόσοι.

v. 2 ὁ δῆμος τῶν κρατούντων ἐκ διχονοίας περιέσεται || v. 5 εὐξυνθήσεται *P*, εὖ ξυνθήσεται coni. Rutgers || 7 ἐπομβρίαν etiam *P* || v. 8 ἔνδειαν τῶν *P* || v. 10 εὐ- ηνίαν, ἐλάττωσιν τῶν πολεμίων, εὐφροσύνην *P* || v. 13 ηνὶ νοεμβρίῳ rubr. *P* || v. 14 εἰ βροντήσῃ] abhinc semper n. sed hab. v. 18 *P* || v. 16 δι᾽ ὧν corr. Bekker pro δι᾽ οὗ || 19 δηλοῖ, αἰσθητοῖς τε] om. *P* || v. 20 δὲ pro τε coni. Bek- er || v. 21 τὸν σῖτον *P* || λοιμήνονται *C* || v. 28 τε om. *P* ||

η'. εἰ βροντήcῃ, ἀδδηφαγίας ἔcεcθαι δεῖ διὰ νόcους ἀπειλουμένας.

126 A θ'. εἰ βροντήcῃ, δημοτῶν ἀναcκολοπιcμοὶ ἔcονται, ἀλλὰ μὴν καὶ ἀφθονία τῶν ἐπιτηδείων.

ι'. εἰ βροντήcῃ, πέρας ἔχει τὰ κακῶς βουλευθέντα τοῖς κρατοῦcιν, ἄνεμος δὲ καυcώδης τοῖς δένδροις λυμαίνεται.

ια'. εἰ βροντήcῃ, εὐχαριcτείτωcαν ἄνθρωποι τῷ B θεῷ· ἄνεμος γὰρ ἐξ ἀνατολῶν ῥεύcει.

ιβ'. εἰ βροντήcῃ, ἐνύπνια τοῖς ἀνθρώποις πλείονα δόξει.

ιγ'. εἰ βροντήcῃ, ἐπικερδῆ μὲν τὸν καιρὸν λοιμικὸν δὲ ἀπειλεῖ, ἕλμιcι δὲ ἐντοcθίοις κακοῖ τὰ cώματα.

ιδ'. εἰ βροντήcῃ, ἑρπετὰ τοῖς ἀνθρώποις ἠρέμα πως λυμαίνεται.

C ιε'. εἰ βροντήcῃ, ὁ μὲν ἰχθὺς ἀφθονώτατος, λοιμώξει δὲ τὰ ἔνυδρα θηρία, καὶ τὰ κοινὰ δῆθεν καλλίονα.

ιϛ'. εἰ βροντήcῃ, ἀκρίδες καὶ μυῶν ἀρουραίων γένεcις, τῷ δὲ βαcιλεῖ κίνδυνος, καὶ cίτου ἀφθονία ἔcται.

ιζ'. εἰ βροντήcῃ, νομὴν ἄφθονον τοῖς κτήνεcι δηλοῖ.

ιη'. εἰ βροντήcῃ, πόλεμον δηλοῖ καὶ τοῖς ἀcτειοτέροις λύπας.

v. 1 pro ἔcεcθαι H. proposuit εἴργεcθαι, ἔχεcθαι, ἀπέχεcθαι || v. 6 κρατοῦcι καὶ ἄνεμος *P* || v. 7 λυμήνεται *C* || v. 8 εὐχαριcτήτωcαν *P* || v. 13 ἔλμιξι *P* || κάκοι (sic!) *P* || v. 16 λυμήνεται *C* || v. 17 λιμώξει *P* || v. 20 ἀκρίδων καὶ μυιῶν *P* || v. 21 τῶν δὲ βαcιλέων *P* || καὶ cίτου] cίτου δὲ *P* || v. 23 τομὴν *P* (sed τ rubre) ||

ιθʹ. εἰ βροντήσῃ, γυναικῶν εὐπραγίας. D

κʹ. εἰ βροντήσῃ, λιμὸν ἀλλ' οὐκ εἰς μακρὰν δηλοῖ.

καʹ. εἰ βροντήσῃ, οἱ μύες φθαρήσονται, εὐθηνία 128 A
οὐ σίτου μόνον ἀλλὰ καὶ νομῆς, καὶ ἰχθύων πλῆθος.

κβʹ. εἰ βροντήσῃ, εὐετηρίαν δηλοῖ.

κγʹ. εἰ βροντήσῃ, ἄνεμος νοσώδης πνεύσει.

κδʹ. εἰ βροντήσῃ, φρούριον τῇ πολιτείᾳ χρηστὸν
ὸ πολεμίοις τελέσει.

κεʹ. εἰ βροντήσῃ, πόλεμος ἐπικίνδυνος ἔσται·
ὶ ἄνεμος νοσώδης πνεύσει.

κϛʹ. εἰ βροντήσῃ, πόλεμον ἐμφύλιον καὶ πτῶσιν B
λλῶν δηλοῖ· ὄμβροι τε ἔσονται λοιμώδεις.

κζʹ. εἰ βροντήσῃ, τὰ αὐτὰ ἀπειλεῖ.

κηʹ. εἰ βροντήσῃ, τῆς συγκλήτου πολλοὶ ἀθυμίᾳ
αρήσονται.

κθʹ. εἰ βροντήσῃ, οἱ μὲν χείρους κάλλιον πρά-
ξουσιν, αἱ δὲ ἐσόμεναι ὀπῶραι φθαρήσονται.

λʹ. εἰ βροντήσῃ, θεοφιλέστερον οἱ ἄνθρωποι ζή-
νται· καὶ εἰκότως σύμμετρα τὰ κακά. C

## ΔΕΚΕΜΒΡΙΟΣ

33. αʹ. Εἰ βροντήσῃ, εὐετηρίαν μεθ' ὁμονοίας
λοῖ.

v. 2—6 ad κʹ et καʹ *P* transponit, quae ad κγʹ et κδʹ
runtur, ad κβʹ, κγʹ, κδʹ, quae ad κʹ, καʹ, κβʹ. || v. 2 ἀλλ'
κ εἰς μακρὰν] scripsi ex *P*, οὐ μακρὸν *C* || v. 3 μυῖες *P* ||
θηνία σίτου, πλῆθος ἰχθύων *P* || v. 8 πολεμίοις etiam *P* ||
10 καὶ ἄνεμος — πνεύσει] sic scripsi; ἄνεμον νοσώδη
ιήσει *P*, om. haec *C* || v. 12 ὄμβροι τε ἔσονται λοιμώδεις]
didi ex *P* || v. 17 ἐσόμεναι] ἐλπιζόμεναι coni. H. || v. 19
ὶ εἰκότως σύμμετρα scripsi ex coniectura Hasii pro εἰ-
τως συμμέτρια || v. 20 μηνὶ δεκεμβρίῳ rubr. *P* ||

β΄. εἰ βροντήσῃ, ἀφθονία ἰχθύων καὶ καρπῶν διαφερόντως.

γ΄. εἰ βροντήσῃ, τοῖς θρέμμασιν ἄνθρωποι καταχρήσονται δι᾽ ἔνδειαν ἰχθύων.

D δ΄. εἰ βροντήσῃ, βαρὺς ἔσται χειμών, εὐθηνία δὲ ὅμως.

ε΄. εἰ βροντήσῃ, νόσους ψωρώδεις ἀπειλεῖ.

ϛ΄. εἰ βροντήσῃ, θείους ὀνείρους οἱ ἄνθρωποι 130 A ἐνυπνιασθήσονται, οἳ κακὸν πέρας ἕξουσιν.

ζ΄. εἰ βροντήσῃ, τὸ αὐτὸ δηλοῖ πᾶσιν.

η΄. εἰ βροντήσῃ, νότος ἐπικρατήσει· ἐξ οὗ εὐθηνία μὲν καρπῶν ἔσται, ὄλεθρος δὲ θρεμμάτων.

θ΄. εἰ βροντήσῃ, κλεινοῦ ἀνδρὸς πτῶσις ἔσται.

B ι΄. εἰ βροντήσῃ, φθορὰν ἀνθρώποις ἐκ νοσημάτων ἀπειλεῖ, οἱ δὲ ἰχθύες ἐπιδώσουσιν.

ια΄. εἰ βροντήσῃ, καυσώδης ἡ θερινὴ ἔσται τροπή, καὶ ἀφθονία ἐπείσακτος.

ιβ΄. εἰ βροντήσῃ, ἐκ γαστρορροίας νόσους ἀπειλεῖ.

ιγ΄. εἰ βροντήσῃ, εὐθηνίαν, νόσους δὲ ἀπειλεῖ. 321

C ιδ΄. εἰ βροντήσῃ, ἐμφύλιον ἅμα πόλεμον καὶ εὐθηνίαν δηλοῖ.

ιε΄. εἰ βροντήσῃ, πολλοὶ ἐπὶ πόλεμον πορεύσονται, ὀλίγοι δὲ ἀναστρέψουσιν.

ιϛ΄. εἰ βροντήσῃ, καινοπρεπῆ πράγματα ἐπὶ τῆς πολιτείας.

ιζ΄. εἰ βροντήσῃ, ἀκρίδας φύσεσθαι λεπτὰς ἀπειλεῖ, εὐθηνίαν δὲ ὅμως.

v. 1 ἀφθονίαν *P* ‖ v. 7 ψωρώδεις corr. Hercher pro ψωριώδεις ‖ ἀπειλεῖ] δηλοῖ *P* ‖ v. 8 θείους ὀνείρους corr. Hercher pro ὁσίοις ὀνείροις ‖ v. 10 πεῦσιν *P* ‖ v. 11 νότος ἐπικρατήσει] scripsi ex *P*, νόσος ἐπικρατής *C* ‖ v. 15 δὲ om. *P* ‖ v. 19 εὐθηνία *P* ‖ v. 26 φύεσθαι *C* ‖

ιη΄. εἰ βροντήσῃ, πόλεμος ἔσται βαρύς.

ιθ΄. εἰ βροντήσῃ, ἐπίτασιν τοῦ πολέμου ἀπειλεῖ. D

κ΄. εἰ βροντήσῃ, ἔνδειαν τῶν ἀναγκαίων λέγει.

κα΄. εἰ βροντήσῃ, ἄνεμον θερμὸν καὶ νοσοποιὸν 132 A ῥεῦσαι ἀπειλεῖ.

κβ΄. εἰ βροντήσῃ, καυσῶδες ἔσται τὸ θέρος καὶ πολύκαρπον.

κγ΄. εἰ βροντήσῃ, ἀνθρώποις νόσον δηλοῖ, ἀλλ' ἀκίνδυνον.

κδ΄. εἰ βροντήσῃ, ἐμφυλίους πολέμους τῇ πόλει καὶ ὄλεθρον τοῖς ὑλαίοις θηρίοις ἀπειλεῖ. B

κε΄. εἰ βροντήσῃ, ἐκστρατείας κίνησις ἐπὶ πόλεμον, ἀλλ' εὐτυχήσει.

κϛ΄. εἰ βροντήσῃ, νόσους τοῖς θεράπουσιν ἀπειλεῖ.

κζ΄. εἰ βροντήσῃ, ὁ βασιλεὺς πολλοὺς ὠφελήσει.

κη΄. εἰ βροντήσῃ, ἀκρίδων γένεσις.

κθ΄. εἰ βροντήσῃ, ἰσχνότητα τοῖς σώμασιν ὑγιεινὴν δηλοῖ. C

λ΄. εἰ βροντήσῃ, ἀνταρσίαν κατὰ τῆς βασιλείας δηλοῖ καὶ εἰκότως πόλεμον.

322

## ΙΑΝΟΥΑΡΙΟΣ

34. α΄. Εἰ βροντήσῃ, ἐλαφρὸς ἄνεμος ῥεύσει, ἀλλ' ἀκίνδυνος.

β΄. εἰ βροντήσῃ, ἀδόκητος ἔσται πόλεμος. D

γ΄. εἰ βροντήσῃ, μετὰ νίκην ἧτταν τοῖς ἐν πολέμῳ φράζει· εὐθηνία δὲ ἔσται.

δ΄. εἰ βροντήσῃ, ὁμονοήσει ὁ δῆμος πρὸς εἰρήνην. 134 A

v. 10 ἐμφύλιον πόλεμον *P* || v. 11 τῶν ὑλαίων θηρίων *P* || v. 13 εὐτυχῆς *P* || v. 17 ἰσχυότητα *C* || ὑγιεινὴν etiam *P* || v. 21 μηνὶ Ἰανουαρίῳ rubr. *P* || v. 22 ἄνεμος] κίνδυνος *P* || v. 27 ὁ om. *P* ||

ε'. εἰ βροντήσῃ, ὑγίειαν τοῖς κτήνεσι σημαίνει.

ϛ'. εἰ βροντήσῃ, βηχώδη νόσον ἀπειλεῖ, ἀφθονίαν δὲ ἰχθύων καὶ καρπῶν δηλοῖ.

B ζ'. εἰ βροντήσῃ, δουλομαχία ἔσται καὶ νόσος συχνή.

η'. εἰ βροντήσῃ, ὁ δυνάστης τῆς πολιτείας πρὸς τοῦ δήμου κινδυνεύσει.

θ'. εἰ βροντήσῃ, ὁ τῆς ἀνατολῆς βασιλεὺς κινδυνεύσει.

ι'. εἰ βροντήσῃ, ἀνέμου κίνησιν σφοδρὰν καὶ σίτου μὲν εὐφορίαν τῶν δ' ἄλλων καρπῶν ἀφορίαν δηλοῖ.

ια'. εἰ βροντήσῃ, λιμὸν σημαίνει καὶ μέχρις
C ἀλόγων.

ιβ'. εἰ βροντήσῃ, οἱ ἄνθρωποι τὰς ὄψεις νοσήσουσιν, ἔσται δὲ πολὺς χόρτος καὶ ἰχθύων ἐπίδοσις.

ιγ'. εἰ βροντήσῃ, νόσους ἀπειλεῖ.

ιδ'. εἰ βροντήσῃ, σπάνιν καὶ μυῶν γένεσιν καὶ ὄλεθρον τετραπόδων ἀπειλεῖ.

D ιε'. εἰ βροντήσῃ, στάσιν δουλικὴν καὶ τιμωρίαν αὐτοῖς καὶ εὐθηνίαν καρπῶν.

ιϛ'. εἰ βροντήσῃ, ὁ δῆμος ὑπὸ τοῦ βασιλέως ταραχθήσεται.

136A ιζ'. εἰ βροντήσῃ, νόσους ἀκινδύνους ἀπειλεῖ. 323

ιη'. εἰ βροντήσῃ, πράγματα ἐκδειματοῦντα τὸν δῆμον ἀναστήσεται.

ιθ'. εἰ βροντήσῃ, καὶ ὁ βασιλεὺς νικήσει καὶ ὁ δῆμος τὴν κρείττονα ἕξει τάξιν.

v. 2 ἀφθονίαν etiam *P* || v. 5 ὁ om. *P* || v. 7—11 ad θ' refert *P*, quod ad ι' legitur et vice versa || v. 9 καὶ om. *P* || v. 10 δηλοῖ om. *P* || v. 14 καὶ om. *P* || v. 15 εἰ βροντήσῃ] hic add. *P* || v. 16 μυιῶν *P* || v. 20 ὁ om. *P* || v. 22 ἀπειλεῖ] δηλοῖ *P* || v. 24 ἀναστήσεται corr. Hercher pro ἀναστήσονται || v. 25 καὶ ante ὁ βασιλεὺς om. *P* || v. 26 τάξιν ἕξει *C* ||

κʹ. εἰ βροντήσῃ, εὐθηνία μὲν ἐπείσακτος ἔσται, B βηχώδης δὲ νόσος ἐνοχλήσει τοῖς σώμασιν.

καʹ. εἰ βροντήσῃ, ὁ βασιλεὺς πολλοῖς ἐπιβουλεύσας τέλος ἐπιβουλεύεται.

κβʹ. εἰ βροντήσῃ, εὐθηνία μὲν ἔσται, μυῶν δὲ καὶ ἐλάφων πλῆθος.

κγʹ. εἰ βροντήσῃ, εὐταξίαν τῇ πόλει δηλοῖ.

κδʹ. εἰ βροντήσῃ, νόσον μετὰ ἐνδείας δηλοῖ. C

κεʹ. εἰ βροντήσῃ, δουλομαχία ἔσται.

κϛʹ. εἰ βροντήσῃ, πολλοὶ πρὸς τοῦ κρατοῦντος ἀναιρεθήσονται, τέλος δὲ καὶ αὐτός.

κζʹ. εἰ βροντήσῃ, νόσους ἀκινδύνους δηλοῖ.

κηʹ. εἰ βροντήσῃ, οἱ μὲν ἐνάλιοι ἰχθύες ἐπιδώ- D σουσι, τὰ δὲ θρέμματα φθαρήσεται.

κθʹ. εἰ βροντήσῃ, λοιμικὸν καὶ νοσῶδες ἐπὶ πᾶσι τὸ τοῦ ἀέρος κατάστημα.

λʹ. εἰ βροντήσῃ, θάνατον συχνὸν ἀπειλεῖ.

## 324 ΦΕΒΡΟΥΑΡΙΟΣ 138 A

35. αʹ. Εἰ βροντήσῃ, πόλεμον καὶ πτῶσιν ἀνδρῶν εὐπόρων ἀπειλεῖ.

βʹ. εἰ βροντήσῃ, ὁ μὲν σῖτος ἐλάττων, ἡ δὲ κριθὴ κρείττων, καὶ θηρίων μὲν αὔξησις, φθίσις δὲ ἀνθρώπων ἔσται.

γʹ. εἰ βροντήσῃ, ἐμφύλιος ἔσται στάσις.

v. 1 εὐθηνία ἐπείσακτος, βηχώδης νόσος τοῖς σώμασιν *P* || v. 3 ἐπιβουλεύσας] βασιλεύσας *P* || v. 5 μυιῶν *P* || v. 6 πληθύς *P* || v. 11 post αὐτός Rutgers ἕξει vel tale quid addi iubet; debuit certe ἀναιρεθήσεται. || v. 14 φθαρήσεται corr. H., φθαρήεται *C*, φθαρήσονται *P* || v. 18 μηνὶ φεβρουαρίῳ *P* rubr. || v. 22 καὶ et μὲν et δὲ om. *P* || v. 23 ἔσται om. *P* || v. 24 στάσις ἔσται *P* ||

δ'. εἰ βροντήσῃ, οἱ ἄνθρωποι οὐ προσώποις μόνον ἀλλὰ καὶ διανοίαις αὐταῖς ταραχθήσονται.

B ε'. εἰ βροντήσῃ, ἄμητος πολὺς καὶ ἀνθρώπων ἀπώλεια ἔσται.

ς'. εἰ βροντήσῃ, φθορὰ τῶν ξηρῶν καρπῶν, καὶ διαφερόντως τῶν κριθῶν.

ζ'. εἰ βροντήσῃ, φθορὰν οὐκ εἰς μακρὰν ἀνθρώποις ἀπειλεῖ.

η'. εἰ βροντήσῃ, πρᾶγμα μέγιστον ἀναφυήσεται τῇ πολιτείᾳ, καὶ οἱ μὲν ἰχθύες ἐπιδώσουσι, τὰ δὲ θηρία φθαρήσεται.

C θ'. εἰ βροντήσῃ, ἐλάττων ἡ κριθή.

ι'. εἰ βροντήσῃ, τὰ θηρία τοῖς ἀνθρώποις λυμανεῖται.

ια'. εἰ βροντήσῃ, εὐτοκία γυναικῶν.

ιβ'. εἰ βροντήσῃ, θάνατον συχνὸν ἀπειλεῖ καὶ ἀνέμους ἀήθεις.

ιγ'. εἰ βροντήσῃ, εὐθηνία μὲν ἔσται, στάσις δὲ ὅμως πολιτική.

140 A ιδ'. εἰ βροντήσῃ, ἀποβολὴν τέκνων καὶ ἔφοδον ἑρπετῶν ἐπιβλαβῆ ἀπειλεῖ.

ιε'. εἰ βροντήσῃ, λοιμικὸς ἀὴρ ἔσται, θηρίων τε 325 καὶ μυῶν γένεσις.

ις'. εἰ βροντήσῃ, τῷ μὲν δήμῳ αἴσιον, τῶν δὲ δυνατῶν ἐκ διχονοίας κακόν.

ιζ'. εἰ βροντήσῃ, θέρος ἔσται ἀφθονώτατον.

v. 1 οἱ om. *P* || v. 4 ἔσται om. *P* || v. 5 καὶ om. *P* || v. 9 γέγιστον *P* || ἀναφύσεται coni. H. coll. p. 146 *A* || v. 11 φαρήσεται *P* || v. 13 λοιμανεῖται *C* || v. 20 καὶ om. *P* || v. 21 ἀπειλὴν *C* || v. 22 ἔσται om. *P* || θηρίων καὶ μυιῶν *P* || v. 24 αἴσιος *P* || v. 26 ἀέρος *P* (sed ἀ rubr.) ||

ιη΄. εἰ βροντήσῃ, ἄνεμον βαρὺν καὶ φλυκτίδων B ἀνάστημα τοῖς σώμασιν ἀπειλεῖ.

ιθ΄. εἰ βροντήσῃ, ἑρπετῶν καὶ ἑλμίνθων πρὸς αὐτοῖς ὄχλος ἔσται.

κ΄. εἰ βροντήσῃ, καλοὺς ἀέρας δηλοῖ.

κα΄. εἰ βροντήσῃ, εὐθηνίαν δηλοῖ.

κβ΄. εἰ βροντήσῃ, ἐπίνοσος ὁ ἀὴρ ἀλλ' οὐ φθαρτικὸς ἔσται.

κγ΄. εἰ βροντήσῃ, ἀνθρώποις μὲν δυσμορφίαν, C ὀρνέοις δὲ φθορὰν ἀπειλεῖ.

κδ΄. εἰ βροντήσῃ, ὑγίειαν μὲν ἀνθρώποις, ἰχθύσι δὲ καὶ ἑρπετοῖς ὄλεθρον ἀπειλεῖ.

κε΄. εἰ βροντήσῃ, τοῖς τρυφῶσιν ἐναντίον· πόλεμοι γὰρ ἔσονται, καὶ ζάλη βαρεῖα.

κϛ΄. εἰ βροντήσῃ, αὐχμὸν καὶ λειψυδρίαν καὶ D ψώρωσιν τοῖς σώμασιν ἀπειλεῖ.

κζ΄. εἰ βροντήσῃ, στάσιν τῷ δήμῳ δηλοῖ.

κη΄. εἰ βροντήσῃ, εὐθηνίαν μέν, ἄνεμον δὲ νο- 142 A σοποιὸν ῥεῦσαι μαντεύεται.

κθ΄. εἰ βροντήσῃ, πόλεμον καὶ εὐθηνίαν δηλοῖ.

326 λ΄. εἰ βροντήσῃ, ἀγαθὰ σημαίνει μετὰ μακρᾶς τινος τοῦ δήμου διχοστασίας.

## ΜΑΡΤΙΟΣ

36. α΄. Εἰ βροντήσῃ, ἅπαν τὸ ἔτος ἀψιμαχίαι καὶ B διχόνοιαι ἔσονται.

v. 1 φλυκτήνων *C*, φλυκταινῶν coni. H. || v. 3 καὶ om. *C* || πρὸς αὐτοῖς] om. *P* || v. 6 εὐθηνίαν etiam *P* || v. 11 ὑγείαν *P* || v. 15 αὐχμόν, λιψυδρίαν, ψωρίωσιν τοῖς σώμασιν (om. ἀπειλεῖ) *P* || v. 20 πόλεμον, εὐθηνίαν (om. δηλοῖ) *P* || v. 21 μικρᾶς coni. Bekker || v. 23 μηνὶ μαρτίῳ rubr. *P* ||

β΄. εἰ βροντήσῃ, παύσει τὰ προαπειλούμενα.

γ΄. εἰ βροντήσῃ, κακοδαιμονία μετὰ ἐνδείας τοῖς πράγμασιν.

δ΄. εἰ βροντήσῃ, εὐθηνία ἀφθονωτάτη ἔσται.

ε΄. εἰ βροντήσῃ, εὐήλιον τὸ ἔαρ καὶ εὔκαρπον τὸ θέρος ἔσται.

C ς΄. εἰ βροντήσῃ, ὅμοια τοῖς πρὸ ταύτης.

ζ΄. εἰ βροντήσῃ, ἄνεμος βαρὺς ἀναστήσεται, ὁ δὲ κρατῶν τὰ πράγματα κινήσει.

η΄. εἰ βροντήσῃ, βροχὰς σημαίνει.

θ΄. εἰ βροντήσῃ, φθορὰν μὲν ἀνθρώπων γένεσιν δὲ θηρίων ἀπειλεῖ.

ι΄. εἰ βροντήσῃ, φθορὰ τοῖς τετραπόδοις.

D ια΄. εἰ βροντήσῃ, κατομβρίαν καὶ ἀκρίδων γένεσιν δηλοῖ.

144 A ιβ΄. εἰ βροντήσῃ, δυνατὸς τοῦ πολιτεύματος ἢ στρατηγὸς κινδυνεύσει, διὸ μάχαι συρραγήσονται, καὶ τὰ θηρία τοῖς ἀνθρώποις ἐπέλθῃ.

ιγ΄. εἰ βροντήσῃ, εὐθηνία ἔσται, τὰ δὲ θηρία φθαρήσεται, καὶ οἱ ἰχθύες ἐπιδώσουσι· καὶ ἑρπετὰ τοῖς οἰκήμασιν ἐνοχλήσει, οὐ μὴν βλάψει.

ιδ΄. εἰ βροντήσῃ, εὐθηνίαν μὲν σημαίνει, θάνα- 327
B τον δὲ ἀνθρώπων καὶ γένεσιν θηρίων ἀπειλεῖ.

ιε΄. εἰ βροντήσῃ, καύματα σημαίνει καὶ λειψυδρίαν καὶ μυῶν ὄχλον καὶ ἰχθύων πολύν.

v. 1 παύσεται coni. Hercher pro παύσει || v. 5 εὔκαρπον etiam *P* || v. 8 στήσεται *C* || ὁ δὲ τῶν πραγμάτων κρατῶν ἀποκινηθήσεται *P* || v. 10 βροχὴν *P* || v. 13 φθορὰν *P* || v. 14 κατομβρία· ἀκρίδων γένεσις *P* || v. 18 ἐπέλθει *P* || v. 19 δὲ om. *P* || v. 20 καὶ ante οἱ om. *P* || καὶ ante ἑρπετὰ om. *P* || v. 24 καύματα, λιψυδρίαν, μυιῶν καὶ ἰχθύων ὄχλον *P* || v. 25 μυῶν corr. H. pro μυιῶν ||

ιϛ΄. εἰ βροντήϲῃ, ὑγιεινὸν μὲν τὸ ἔτοϲ, ἀλλ᾽ ἐνδεὲϲ τῶν ἐπιτηδείων.

ιζ΄. εἰ βροντήϲῃ, πρᾶγμα παράδοξον τῷ δήμῳ ϲυμβήϲεται, ϲυχνὴ δὲ φθορὰ ἀνθρώποιϲ τε καὶ θηρίοιϲ τετράποϲιν.

ιη΄. εἰ βροντήϲῃ, κατομβρίαν καὶ νόϲον καὶ ἀκρί- C
δων γένεϲιν καὶ ἐγγὺϲ ἀκαρπίαν δηλοῖ.

ιθ΄. εἰ βροντήϲῃ, αὐχμὸϲ ξηρότατοϲ καὶ φθοροποιόϲ.

κ΄. εἰ βροντήϲῃ, εὐπορώτερον οἱ ἄνθρωποι ἅμα καὶ ἀφθονώτερον ζήϲονται.

κα΄. εἰ βροντήϲῃ, εὐθηνίαν μετὰ πολέμουϲ καὶ φθορώδειϲ αὐχμοὺϲ δηλοῖ.

κβ΄. εἰ βροντήϲῃ, φθορὰν μὲν ὀρνέων, ἐπίδοϲιν D
δὲ τῶν ἐπιτηδείων.

κγ΄. εἰ βροντήϲῃ, ϲτάϲειϲ δηλοῖ.

κδ΄. εἰ βροντήϲῃ, εὐθηνίαν ϲημαίνει. 146 A

κε΄. εἰ βροντήϲῃ, καινὰ πράγματα τῷ δήμῳ ἀναφύεται.

κϛ΄. εἰ βροντήϲῃ, κτῆϲιν ἐπειϲάκτων ἀνδραπόδων δηλοῖ.

κζ΄. εἰ βροντήϲῃ, ἐπείϲακτον εὐθηνίαν δηλοῖ.

κη΄. εἰ βροντήϲῃ, ἀφθονία ἰχθύων θαλαττίων ἔϲται.

κθ΄. εἰ βροντήϲῃ, αἱ γυναῖκεϲ τῆϲ κρείττονοϲ B
δόξηϲ ἀνθέξονται.

328 λ΄. εἰ βροντήϲῃ, δυνατόϲ τιϲ τῆϲ βαϲιλείαϲ ἐγκρατὴϲ ἔϲται, δι᾽ οὗ εὐφροϲύνη.

v. 1 ἐνδεὲϲ etiam *P* || v. 3 δήμῳ om. *P* || v. 4 τε om. *P* || v. 6 καὶ utrumque om. *P* || v. 10 εὐπορώτερον corr. Hercher pro εὐτροπώτερον || v. 12 εὐθηνίαν etiam *P* || πολέμου *P* || v. 20 ἐπειϲάκτων corr. Hercher pro ἐπείϲακτον || v. 23 ἔϲται om. *P* || v. 25 ἀνθέξονται etiam *P* ||

## ΑΠΡΙΛΙΟϹ

37. α΄. Εἰ βροντήϲῃ, ἐμφύλιον ϲτάϲιν καὶ ἀπο-
C πτώϲειϲ οὐϲιῶν ἀπειλεῖ.

β΄. εἰ βροντήϲῃ, δίκηϲ ϲημεῖον, ἐϲθλοῖϲ ἐϲθλὰ φερούϲηϲ καὶ φαύλοιϲ φαῦλα.

γ΄. εἰ βροντήϲῃ, κέρδη ἐξ ἐπειϲάκτου εὐθηνίαϲ δηλοῖ.

δ΄. εἰ βροντήϲῃ, ὀργὴν τῶν κρειττόνων ἀπειλεῖ τοῖϲ ἀξίοιϲ.

ε΄. εἰ βροντήϲῃ, αὐχμὸν μὲν τῷ ἦρι, ὑγιεινὸν δὲ τὸν ἐνιαυτὸν ϲημαίνει.

D ϛ΄. εἰ βροντήϲῃ, πόλεμοι ἐμφύλιοι ἀναϲτήϲονται.

ζ΄. εἰ βροντήϲῃ, ἀγαθὰ πάντα καὶ ἄφθονον εὐετηρίαν δηλοῖ.

148 A η΄. εἰ βροντήϲῃ, κατομβρίαν δηλοῖ ἐπίνοϲον.

θ΄. εἰ βροντήϲῃ, νίκην τῇ βαϲιλείᾳ δηλοῖ καὶ τοῖϲ δυνατοῖϲ εὐφροϲύνην.

ι΄. εἰ βροντήϲῃ, ἀνδρῶν ἀγαθῶν προκοπαὶ ἔϲονται.

ια΄. εἰ βροντήϲῃ, τὰ αὐτὰ ϲημαίνει.

B ιβ΄. εἰ βροντήϲῃ, βροχὰϲ καὶ εὐθηνίαϲ καὶ φθορὰν ἰχθύων δηλοῖ.

ιγ΄. εἰ βροντήϲῃ, ἀνθρώποιϲ καὶ κτήνεϲι φθορὰν ἀπειλεῖ.

ιδ΄. εἰ βροντήϲῃ, ὑγίειαν καὶ εὐθηνίαν δηλοῖ.

ιε΄. εἰ βροντήϲῃ, λοιμὸν ϲημαίνει.

ιϛ΄. εἰ βροντήϲῃ, εὐθηνίαν μέν, μυῶν δὲ ἀρου- 329
ραίων γένεϲιν δηλοῖ.

v. 1 μηνὶ ἀπριλλίῳ rubr. *P* || v. 5 φερούϲηϲ corr. H. pro φέρουϲα || v. 10 τὸ ἔαρ *P* || v. 13 φθόνου *C* || v. 16 δίκην (δ rubr.) *P* || τῇ βαϲιλείᾳ etiam *P* || v. 24 ὑγείαν *P* || εὐθηνίαν etiam *P* || v. 26 εὐθηνίαν etiam *P* || μυιῶν *P* ||

ιζ′. εἰ βροντήςῃ, ἀφθονίαν τῶν ἐπιτηδείων cημαίνει. C

ιη′. εἰ βροντήςῃ, διχόνοιαν καὶ ἀνδρῶν ἀςτοχίαν cημαίνει.

ιθ′. εἰ βροντήςῃ, δυνατὸς ἀνὴρ τῆς πολιτείας οὐςίας ἅμα καὶ δόξης ἀφαιρεθήςεται.

κ′. εἰ βροντήςῃ, θεοχολωςίαν cημαίνει.

κα′. εἰ βροντήςῃ, τοῖς μὲν καρποῖς δεξιόν, τῇ δὲ πολιτείᾳ πόλεμον cημαίνει. D

κβ′. εἰ βροντήςῃ, φθορὰ τῶν μυῶν ἔςται.

κγ′. εἰ βροντήςῃ, βροχὴν ὠφέλιμον τοῖς ςπορίμοις δηλοῖ. 150 A

κδ′. εἰ βροντήςῃ, διχόνοια ἔςται τῶν δυνατῶν, τὰ δὲ ςκέμματα αὐτῶν ἀναφανήςεται.

κε′. εἰ βροντήςῃ, εἰρήνη ἀνὰ πάντα τὸν ἐνιαυτόν.

κϛ′. εἰ βροντήςῃ, ἐλπίδα καρπῶν μεγάλην καὶ ἀμήτων ςπάνιν δηλοῖ.

κζ′. εἰ βροντήςῃ, διοςημία παράδοξος ὀφθήςεται. B

κη′. εἰ βροντήςῃ, ὅπλοις ὁ δῆμος ἀναζώςεται.

κθ′. εἰ βροντήςῃ, ἐπικρατήςει ὁ Ζέφυρος.

λ′. εἰ βροντήςῃ, πραγμάτων καλῶν ἐπομβρία.

## ΜΑΙΟΣ

38. α′. Εἰ βροντήςῃ, φυγὴν τῷ δήμῳ καὶ ἀτιμίαν δηλοῖ. C

β′. εἰ βροντήςῃ, λιμὸν ἀπειλεῖ.

v. 1 ἀφθονίαν etiam *P* || v. 3 ἀςτοχίαν etiam *P* || v. 8 δεξιὰν *C* || v. 10 μυῶν] sic *P*, μυιῶν *C* || v. 14 ἀναφανήςονται *P* || v. 15 εἰρήνη] sic corr. H., εἰρήνην *P*, om. *C* || v. 16 μεγάλων *P* || v. 17 ἀμήτων etiam *P* || v. 18 διοςημία corr. Hercher pro διοςημεῖα || παραδόξως *C* || v. 21 πράγματα κακά· ἐπομβρία *P* || v. 22 μηνὶ μαΐω rubr. *P* || v. 23 αὐγὴν (α rubr.) *P* || ἀτιμίαν etiam *P* ||

γ'. εἰ βροντήσῃ, ἐπείσακτον εὐθηνίαν δηλοῖ.

δ'. εἰ βροντήσῃ, εὔκρατος ἀήρ, καὶ οἱ καρποὶ 330 εὔθηνοὶ ἔσονται.

ε'. εἰ βροντήσῃ, ἐναλλαγὴ τῶν λυπηρῶν τοῖς D πράγμασιν ἔσται, καὶ πλείων ὁ σῖτος ἤπερ ἡ κριθή· τὰ δὲ ὄσπρια φθαρήσεται.

ς'. εἰ βροντήσῃ, θᾶττον ἀκμάσαι τοὺς καρποὺς καὶ φθαρῆναι δηλοῖ.

152 A ζ'. εἰ βροντήσῃ, ὀρνέων καὶ ἰχθύων ἀφθονία ἔσται.

η'. εἰ βροντήσῃ, ἀπαίσιον τῷ δήμῳ.

θ'. εἰ βροντήσῃ, λοιμὸν σημαίνει, ἀλλὰ μετρίως ἐπικίνδυνον.

ι'. εἰ βροντήσῃ, ταραχὰς κατομβρίας καὶ ὑπερχύσεις ποταμῶν ἐπιβλαβεῖς δηλοῖ, σαυρῶν τε καὶ ἑρπετῶν πλῆθος.

B ια'. εἰ βροντήσῃ, εὐθηνίαν κατά τε τὴν γῆν κατά τε τὴν θάλασσαν ἐλπιστέον.

ιβ'. εἰ βροντήσῃ, φθορὰ ἰχθύων ἔσται.

ιγ'. εἰ βροντήσῃ, ἐπίδοσιν ποταμίων ὑδάτων δηλοῖ, νόσους δὲ τοῖς ἀνθρώποις.

ιδ'. εἰ βροντήσῃ, ἀνατολικὸς ἔσται πόλεμος καὶ φθορὰ πολλή.

ιε'. εἰ βροντήσῃ, εὐθηνίαν δηλοῖ.

C ις'. εἰ βροντήσῃ, εὔχεσθαι δεῖ διὰ τὰ ἀπειλούμενα.

ιζ'. εἰ βροντήσῃ, ὑετὸν σημαίνει.

ιη'. εἰ βροντήσῃ, στάσιν καὶ ἐξ αὐτῆς πόλεμον καὶ ἔνδειαν τῶν ἐπιτηδείων.

v. 4 ἐναλλαγὴ etiam *P* (ἐ rubr. corr. ex α) ‖ v. 11 ἀναίσιον *C* ‖ v. 14 ταραχαὶ *P* ‖ v. 15 δηλοῖ om. *P* ‖ v. 23 πολλῶν *P* ‖

ιθ΄. εἰ βροντήσῃ, εὐνοίᾳ τοῦ δήμου ἀνήρ τις εἰς ἄκρον εὐδαιμονίας ἀρθήσεται.

331 κ΄. εἰ βροντήσῃ, τοῖς μὲν περὶ τὴν ἀνατολὴν εὐ- D θηνία, τοῖς δὲ ἐπὶ δύσιν οὐχ οὕτως.

κα΄. εἰ βροντήσῃ, εὐχῶν δεῖ διὰ τὰ ἀπειλούμενα.

κβ΄. εἰ βροντήσῃ, κατομβρίαν καὶ φθορὰν τῶν 154A θαλαττίων ἰχθύων σημαίνει.

κγ΄. εἰ βροντήσῃ, εὐομβρίαν καρποφόρον δηλοῖ.

κδ΄. εἰ βροντήσῃ, μεγάλα κακά, ὡς ἐξ ἀθυμίας λειποθυμῆσαι τοὺς ὑπηκόους.

κε΄. εἰ βροντήσῃ, ἀνάπαυλαν καὶ ὕφεσιν τῶν B κακῶν ἐλπιστέον.

κς΄. εἰ βροντήσῃ, καλὸν τοῖς περὶ γεωργίαν ἔχουσιν.

κζ΄. εἰ βροντήσῃ, διοσημία ἔσται καὶ κομήτης ἐξαφθήσεται.

κη΄. εἰ βροντήσῃ, ὡσαύτως ἔσται.

κθ΄. εἰ βροντήσῃ, πόλεμον ἀρκτῷον σημαίνει, ἀλλ᾽ ἀκίνδυνον τοῖς πράγμασιν.

λ΄. εἰ βροντήσῃ, τὰ φυτὰ τῷ ἀνέμῳ συντρι- C βήσεται.

Ταύτην τὴν ἐφήμερον βροντοσκοπίαν ὁ Νιγίδιος οὐ καθολικὴν ἀλλὰ μόνης εἶναι τῆς Ῥώμης ἔκρινεν.

v. 1 τις delet Hercher || v. 5 εὐχῶν] εὔχεσθαι *P* || v. 8 σημαίνει] δηλοῖ *P* || v. 9 ἀνομβρίαν (ἀ rubr.) *P* || καρποφθόρον coni. Rutgers || v. 10 ἀτιμίας *P* || v. 12 ὕφεσιν etiam *P* || v. 16 διοσημία corr. Hercher pro διοσημεῖα || διοσημία — ἐξαφθήσεται] *C* iterat id quod ad κς΄ legitur || v. 21 τῷ ἀνέμῳ scripsi ex *P*, qui sic habet correct. ex τῶν ἀνέμων, *C* τῶν ἀνέμων ||

156 ΒΡΟΝΤΟϹΚΟΠΙΑ 332

## ΕΚ ΤΩΝ ΦΟΝΤΗΙΟΥ ΤΟΥ ΡΩΜΑΙΟΥ

### ΚΑΘ' ΕΡΜΗΝΕΙΑΝ ΠΡΟϹ ΛΕΞΙΝ

A 39. Ϲελήνης ἐχούϲης τὸν αἰγόκερων εἰ ἐν ἡμέρᾳ βροντὴ γένηται, τύραννον ἐπαναϲτήϲεϲθαι ἀπειλεῖ τοῖϲ ἀπὸ τῆϲ ϲτενῆϲ θαλάϲϲηϲ ἄχρι Νείλου χωρίοιϲ, ἐκπεϲεῖν δὲ ὅμωϲ αὐτὸν τῆϲ ἐγχειρήϲεωϲ. οὐχ ἥκιϲτα δὲ καὶ τῶν ἐπιτηδείων ἔϲται ἐλάττωϲιϲ. ὑπονοϲτήϲει δὲ καὶ ὁ Νεῖλοϲ, καὶ διχόνοια ἔϲται τέκνοιϲ πρὸϲ γονεῖϲ, καὶ ταραχαὶ τῶν ἀρχόντων ἐνίοιϲ. Πέρϲαι δὲ καὶ οἱ τῆϲ Εὐρώπηϲ τὸ δυτικὸν ἔχοντεϲ ἠρεμήϲουϲιν. εἰ δὲ νυκτόϲ, ἔθνη βάρβαρα
B κατ' ἀλλήλων ἐξενεχθήϲεται, καὶ δογμάτων ἕνεκα τὰ τῆϲ Ῥωμαϊκῆϲ εἰρήνηϲ ϲαλευθήϲεται, καὶ τόπουϲ δέ τιναϲ τοῦ πολιτεύματοϲ πολέμιοι πρὸϲ βραχὺ καθέξουϲιν. ἄρχοντεϲ ἐκ τῶν δυτικῶν ὁρμώμενοι ἡγήϲονται παρανόμωϲ τῶν κοινῶν. δυϲδαίμονεϲ δὲ ἔϲονται οἱ τῶν ἀνθρώπων πλείουϲ, καὶ χειμῶνεϲ πικροί, καὶ ναυάγια, καὶ ϲάλοι ϲφαλεροί.

Ϲελήνης ὑδροχόῳ οὔϲηϲ εἰ ἐν ἡμέρᾳ βροντήϲῃ,
C κλεινῶν ἀνθρώπων καταλύϲειϲ ἐμπρηϲμούϲ τε βαρεῖϲ. καὶ ὁ μὲν ἄμητοϲ ἱλαρόϲ, ἀκρίϲι δὲ καὶ θη-

Fontei tonitruale reperitur etiam in *P* fol. 185 rect. et *R* fol. 70 vers., in *P* sequitur statim post cap. 26 omittiturque inscriptio generalis, quae hic v. 1—3 legitur, quam librarius iam supra (v. cap. 23) posuerat, sed inscribitur tantum περὶ βροντῶν ἀπὸ ϲελήνηϲ || v. 2 Φοντηίου corr. Schmitz in nov. mus. Rhen. XI p. 299 pro Φωντηίου || v. 4 ante ϲελήνηϲ *P* rubr. add. τῆϲ et sic semper || v. 8 καὶ τῶν] ἢ τῶν *C*, καὶ ἡ τῶν *P* || v. 16 δυτικῶν] ναυτικῶν *PR* || v. 20 οὔϲηϲ om. *P* ||

133 ρίοις ἐκδοθήσεται, ἡ δὲ σταφυλὴ σφηξί. καὶ τὸ πάντων σχετλιώτατον, φάσματα τοῖς σώμασιν ἐνοχλήσει μετὰ νόσων, καὶ τῶν ὑδάτων διαμαρτήσει τὸ νόστιμον. καὶ οἱ μὲν ἐλάττονες τὰς τύχας ἐπὶ τὸ βέλτιον 158 A ἀνασπασθήσονται, οἱ δὲ μείζους ἐπὶ τὸ χεῖρον ἐκπεσοῦνται. ἀμετρία τε τῶν νόμων τὴν εἰρήνην ταράξει, καὶ ἐθνικῶν ἔσται ἐπὶ τῆς πολιτείας πάροδος. εἰ δὲ νυκτὸς βροντήσῃ, ἀπολεγέτω μὲν τῇ εἰρήνῃ τὸ δυτικόν, ὁ δὲ ἄμητος τῆς Ἀσίας εὐκταιότατος, καὶ οἱ ἄρχοντες παρὰ τὸ κρατοῦν ἐν αὐτοῖς οὐ σφόδρα τοὺς ὑπηκόους λυπήσουσι.

Σελήνης ἰχθύσιν οὔσης ἐὰν βροντὴ ἐν ἡμέρᾳ γένηται, ὑδάτων ἐπίδοσιν δηλοῖ οὐ ποταμίων μόνον ἀλλὰ καὶ θαλαττίων, ἀχλύν τε τῷ ἀέρι, ἀλλὰ καὶ ἀφανισμὸν τοῖς ἰχθύσιν ἀπειλεῖ. τὰ δὲ θηρία πρὸς τὰς παγίδας αὐτομολήσει· φυτεύειν δ᾽ ὅμως φυτὰ ἐπευκταῖον. καὶ νοσῶδες μὲν τὸ κατάστημα, οἱ δὲ ἄρχοντες ἀνωμάλως διακείσονται. εἰ δὲ νυκτὸς...... B

40. Σελήνης οὔσης κριῷ ἐὰν βροντὴ γένηται C ἐν ἡμέρᾳ, φυγὴν μὲν Ἀραβίοις, λοιμὸν δὲ Πέρσαις ἀπειλεῖ. εἰ δὲ νυκτί, Ἀσίαν καὶ Εὐρώπην ταράξουσι πολέμιοι, οἵ τε ναυτιλλόμενοι οὐκ ἔξω κινδύνων ἔσονται. καὶ ἀφθονία μὲν τῶν καρπῶν ἔσται, δυνατοῦ δὲ προσώπου πτῶσις· καὶ τὰ κοινὰ ἐγγὺς εὐθηνίας ἔσται.

v. 1 εὐδοθήσεται *C* || σφηξί corr. Hercher pro σφιγξί || v. 2 σχετλιώτατον corr. Hercher pro σχετλιώτερον coll. p. 94, 3 || v. 5 ἀνασπασθήσονται] ἁρπασθήσονται *PR* || v. 10 παρὰ] ἄρα *C* || v. 12 οὔσης om. *P* || εἰ ἐν ἡμέρᾳ βροντήσῃ *P* || v. 18 εἰ δὲ νυκτὸς] add. *P* et duorum versuum spatium relinquit; ceteri omitt. || v. 19 οὔσης — γένηται] ἐὰν βροντήσῃ *P* || v. 22 πόλεμον *P*, πόλεμοι *R* ||

Σελήνης οὔσης ταύρῳ εἰ ἐν ἡμέρᾳ βροντήσῃ, ἐπομβρίαν δηλοῖ καὶ χαλαζώδη τὸν ἀέρα, καὶ ποτα-
D μῶν προχεύματα. καὶ ὁ μὲν ἰχθὺς ἄφθονος, οἱ δὲ περὶ τοὺς θαλαττίους πόρους ἀγρυπνοῦντες λυπη- 334
ρότατοι. καὶ ὁ μὲν ἄμητος ἀγαθός, τοῖς δὲ κτήνεσι λοιμός. εἰ δὲ νύκτωρ, καρπῶν μὲν ἔνδειαν, ὑετῶδες δὲ καὶ χαλαζῶδες τὸ θερινὸν κατάστημα. ἀμβλωσίς
160 A τε γυναικῶν συμβήσεται, καὶ τὸ νόστιμον ὕδωρ ἐπιλείψει· καὶ κινήσεις μὲν στρατευμάτων λυπηραί, τῇ δὲ ἀνατολῇ τύραννος οὐκ εὐτυχὴς ἐνοχλήσει.

Σελήνης οὔσης διδύμοις εἰ ἐν ἡμέρᾳ βροντήσῃ, θεοσεβέστατα ἔσται τὰ κοινά· εἰ δὲ ἐν νυκτί, τὰ ἐναντία.

Σελήνης οὔσης καρκίνῳ εἰ ἐν ἡμέρᾳ βροντὴ γένηται καὶ νεκρὰ συμβαίη, ταραχαὶ τοῖς κοινοῖς πράγμασιν ἔσονται καινοτομίαι τε τοῖς πράγμασιν ἐπὶ
B τὸ χεῖρον· οἱ δὲ καρποὶ ψεύσονται. ἀλλὰ μὴν καὶ ἡ θάλασσα τοῖς ναυτιλλομένοις ὀλεθρία ἔσται, καὶ φθορὰ μὲν ἀνθρώπων, ἀφθονία δὲ ἰχθύων. εἰ δὲ ἐν νυκτί, Αἰθίοψι καὶ Πέρσαις ὄλεθρος ἐνσκήψει· τὰ δὲ δυτικὰ οὕτως λιμώξει ὡς καὶ εἰς Αἴγυπτον δι' ἔνδειαν καταφυγεῖν.

Σελήνης οὔσης λέοντι ἐὰν βροντὴν ἐν ἡμέρᾳ γενέσθαι σύμβαίη, δόλον κατὰ τῆς βασιλείας μελετᾶσθαι δηλοῖ. καινισμοί τε νόσων ἔσονται, καὶ θάνα-

v. 1 οὔσης] ἐν *P* || v. 3 προχεύματα corr. Hercher pro παροχεύματα || v. 11 οὔσης] ἐν *P* || v. 12 εἰ δὲ νυκτί, τοὐναντίον *P* || v. 14 οὔσης] ἐν *P* || βροντὴ γένηται] βροντήσῃ *P* || v. 15 καὶ νεκρὰ συμβαίη] om. *PR* || v. 19 δὲ νυκτὶ *CP* || v. 21 καταφυγεῖν] sic *P*, καταφυγὴν *C*, φυγεῖν *R* || v. 23 οὔσης] ἐν *P* et sic semper || ἐὰν βροντήσῃ, δόλον *P* || v. 25 pro νόσων coni. νόμων H. || ἔσονται om. *C*

τοι τοῦ πλήθους ἐκ τιμωριῶν. καὶ ὁ μὲν ἄμητος C ἄφθονος ἔσται, ὑπὸ δὲ πολεμίων διαρπαγήσεται, καὶ διαφερόντως κατὰ τὸ δυτικόν. κατισχύσουσί τε καὶ ἀδικήσουσιν οἱ ὑπερέχοντες τὸ ὑπήκοον. εἰ δὲ νυκτός, καὶ οὕτως ἡ βασιλεία ἐπιβουλευθήσεται, καὶ 135 μέρος τῆς ἀνατολῆς ὑπὸ βαρβάροις τελέσει. κατόμβρισις δὲ τοῖς ὑγροῖς καρποῖς λυμανεῖται. ἐπισυρήσονται δὲ τοῖς κτήνεσιν ἑρπετὰ θανατηφόρα· δυνατοὶ δὲ τῆς πολιτείας πεσοῦνται.

41. Σελήνης οὔσης παρθένῳ εἰ ἐν ἡμέρᾳ D βροντήσῃ, ὑγρότερον ἔσται τὸ τοῦ ἀέρος κατάστημα, ἀφθονία δὲ τῶν ξηρῶν καρπῶν, ὡς ἠρέμα πως ἐπιρρεπεστέρους γενέσθαι τοὺς ἀνθρώπους ἐπὶ τὰ πταί- 162 A σματα. ἔσται δὲ καὶ φθορὰ τοῦ γυναικείου ἔθνους. εἰ δὲ νυκτός, λοιμὸς ἐνσκήψει τοῖς δυτικοῖς· τὰ δὲ θηρία οὕτως ἐπελεύσεται τοῖς ἀνθρώποις ὡς φωλεοῖς αὐτοὺς ἐγκατακρύπτεσθαι· καὶ δυνατῶν δὲ ἀνδρῶν ἔσται πτῶσις, καὶ ἔνδεια ξηρῶν καρπῶν.

Σελήνης οὔσης ζυγῷ εἰ ἐν ἡμέρᾳ βροντήσῃ, ἀγαθὰ ἐκδεχέσθωσαν ἄνθρωποι, ἐξῃρημένων Αἰγυπτίων. εἰ δὲ νυκτός, ἡ μὲν νεολαία ἐν ὅπλοις τελέ- B σει καὶ ἐν πολέμοις φθαρήσεται, ἀφθονία γε μὴν τῶν καρπῶν ἔσται, ὑπὸ δὲ βαρβάρων δαπανηθήσεται.

Σελήνης οὔσης σκορπίῳ ἐὰν ἐν ἡμέρᾳ βροντὴν ἢ ἀστραπὴν γενέσθαι συμβαίη, Ἀράβιοι ταραχθήσονται, ἔνδεια δὲ τῶν καρπῶν ἔσται, καὶ οἱ ἄνθρωποι κατ' ἀλλήλων χωρήσουσιν. Ἀσσυρία γε μὴν πιε-

v. 2 διαρπαγήσεται corr. Hercher pro διαρπαγήσονται || v. 6 κατόμβρησις malit Hercher || v. 7 post δὲ add. καὶ *R* || v. 11 βροντήσῃ transponit *P* ante ἐν ἡμέρᾳ || v. 19 βροντήσῃ transponit *P* ante ἐν ἡμέρᾳ || v. 24 εἰ βροντήσῃ ἐν ἡμέρᾳ ἢ *P* ||

cθήcεται λιμῷ. εἰ δὲ νυκτόc, πυρκαϊαὶ μὲν ἔcονται,
C πτώcειc δὲ πόλεων παραλίων καὶ διαφθορὰ καρπῶν
καὶ τετραπόδων, θηρίων δὲ παντοίων ἐπιδρομή· ὅθεν
εὔχεcθαι δεῖ, ὅπωc μὴ καὶ κεραυνῶν ἐνcκήψεcιν ἀνα-
λωθῶcι.

Cελήνηc οὔcηc τοξότῃ ἐὰν ἐν ἡμέρᾳ βρον- 336
τήcῃ, Πέρcαιc ἀφανιcμὸν ἀπειλεῖ, καὶ ὁ βαcιλεὺc δὲ
αὐτῶν δολοφονηθήcεται, εὐκαρπία δὲ ἔcται καὶ χει-
μῶνεc εὔδιοι ἔcονται, καὶ φθορὰ μὲν ἀνθρώπων, ἀν-
δραποδιcμοὶ δὲ πόλεων. εἰ δὲ ἐν νυκτί, ἐπομβρίαν
D δηλοῖ, καὶ κάματον δὲ τοῖc ἐγκύμοcι καὶ νόcουc καὶ
θανάτουc αἰφνιδίουc, ὡc περιττεύειν μὲν τοὺc καρ-
πούc, ἀπολείπεcθαι δὲ τοὺc δαπανῶνταc. ἔcονται
δὲ cάλοι καὶ ἄνεμοι βίαιοι, καὶ ἀφανιcθήcεται ἀνὴρ
δυνατὸc καὶ βαρὺc τοῖc πράγμαcιν.

v. 1 λοιμῷ *C* || v. 4 ἀναλωθήcονται *P* || v. 6 ἐὰν] εἰ *P* || v. 9 καὶ add. Hercher || v. 10 ἐν om. *P* ||

# ΚΑΘΟΛΙΚΗ ЄΠΙΤΗΡΗϹΙϹ 164
## ΠΡΟϹ ϹЄΛΗΝΗΝ
### ΠЄΡΙ ΚЄΡΑΥΝΩΝ ΚΑΙ ΑΛΛΩΝ ΚΑΤΑϹΤΗΜΑΤΩΝ,
#### ЄΚ ΤΩΝ ΛΑΒЄΩΝΟϹ ΚΑΘ' ЄΡΜΗΝЄΙΑΝ ΠΡΟϹ ΛЄΞΙΝ, ΑΠΟ ΤΗϹ ΘЄΡΙΝΗϹ ΤΡΟΠΗϹ

42. Εἰ κατὰ τὴν ἑνδεκάτην τοῦ καρκίνου μοῖραν A
cελήνη εἴη κριῷ, ἔcονται ἀχλύες καὶ βρονταὶ καὶ χάλαζαι, ταραχαὶ δὲ τοῖc δένδροιc ἐκ βιαιοτέρων πνευμάτων, καὶ ζάλη ἀερία, τίμιοί τε οἱ καρποί, καὶ αὐχμηρὸν τὸ περιέχον ἐκ λοιμικῆc θερμαcίαc. εἰ δὲ ταύρῳ, ἔνδεια μὲν ἔcται τῶν ἐπιτηδείων, ἐλαίου δὲ
337 διαφερόντωc, τὰ μέντοι cταθμῷ ἀποδιδόμενα εὐτελῆ ἔcται. διδύμοιc γε μὴν οὔcηc τῆc cελήνηc ἐπὶ τῆc θε- B
ρινῆc τροπῆc ἀμφίβολοc ἔcται ὁ ἐνιαυτόc· ἡγήcεται μὲν γὰρ ὑγρότηc, ἕψεται δὲ ξηρότηc, καὶ ὁ μὲν cῖτοc ἐλάccων, κρείττων δὲ ὁ οἶνοc, καὶ οὐχ ἥκιcτα τὸ ἔλαιον ἀφθονώτατα διαρκέcει. καρκίνῳ δὲ οὔcηc cελήνηc ἐπὶ τῆc θερινῆc τροπῆc, ὡc προϋποδέδεικται, εὔφοροc ὁ ἐνιαυτὸc ἔcται περὶ πάνταc τοὺc καρπούc, ξηρούc τε καὶ ὑγρούc· εἰκότωc οὖν εὐθηνίαν προcδοκητέον. εἰ δὲ ἐπὶ τοῦ λέοντοc cελήνηc οὔcηc ἡ θε- C
ρινὴ cυνέλθοι τροπή, βροντώδη καὶ θυελλώδη ἄν τιc ἐκδέξαιτο τὸν ἀέρα· νεφώδηc γὰρ ἔcται καὶ ἀχλυώδηc, ὡc περιττευούcηc τῆc ἐξ ὑπερῴων ὑγραcίαc τοὺc μὲν ξηροὺc καρποὺc ἐλαττωθῆναι, τοὺc δὲ ὑγροὺc

v. 1 Labeonis dissertatio extat etiam in *R* fol. 71 et *F* fol. 153 || v. 6 ἑνδεκάτην] α̅ *F* || v. 7 cελήνη] καὶ *C* || v. 8 πνευμάτων] ἀνέμων *R* || v. 19 εὔφρονοc *C* || v. 22 θελλώδη *C* || v. 23 ἐκδέξοιτο *CF* ||

166 A λέπιδοῦναι. ὅταν δὲ ἐπὶ τῆς θερινῆς τροπῆς σελήνη τὴν παρθένον ἔχοι, στεῖρος μὲν καὶ ἐγγὺς ἄκαρπος ὁ ἐνιαυτός, ἐκ δὲ ἀδοκήτου περί τε τοὺς ξηροὺς καρποὺς καὶ ὑγροὺς ἔσται τις παραψυχή. ζυγῷ οὖσα ἡ σελήνη εἰ τὴν θερινὴν καταλάβοι τροπήν, εὔφορον μὲν καὶ αὐτάρκη τὸν ἐνιαυτὸν ἐμφαίνει περὶ τοὺς ξηροὺς καρπούς, ὑγρὸν δὲ ὅμως καὶ ἔπομβρον· καὶ
B τὰ σταθμῷ διδόμενα τίμια ἔσται, τὸ δὲ ἔλαιον σὺν καὶ τῷ οἴνῳ ἔσται τιμιώτατον. σκορπίῳ σελήνης ἐπὶ τῆς μὲν θερινῆς τροπῆς τυγχανούσης ξηρὸς καὶ ὄψιμος ὁ ἐνιαυτὸς ἐπὶ τοῖς καρποῖς ἔσται, χαλαζώδης δὲ οὐχ ἥκιστα καὶ ταρακτικός· ὅ γε μὴν σπόρος, καὶ εἴ τι ὑπὸ γῆν, ἔξω ἐλπίδος· λιμὸς οὖν ἔσται πάντως καὶ φθορὰ τῶν ἀνθρώπων. τοξότην ἐχούσης σελήνης ἐπὶ τῆς τοῦ θερινοῦ κέντρου τροπῆς, πλημμύρα ἔσται 339
C ὑδάτων ἀτμοί τε καὶ χαλαζώδεις ὄμβροι, καὶ φθορὰ τῶν πτηνῶν, καὶ ναυάγια οὐ μικρά, καὶ ἐλαττώσεις μὲν τῶν ὑγρῶν καρπῶν, ἀφθονία δὲ τῶν ξηρῶν. ὅταν γε μὴν τὸν αἰγόκερων ἔχῃ σελήνη ἐπὶ τῆς ἐν θέρει τροπῆς, οὕτως ἐπομβρήσει ὁ ἀὴρ ὡς ἐμποδὼν γενέσθαι τῇ συναγωγῇ τῶν καρπῶν καὶ μεταμελῆσαι τοῖς γεωργοῖς τῆς ἐπὶ τῷ σπόρῳ σπουδῆς· ἐκ παραδόξου δὲ οἱονεὶ τῆς προνοίας οἴνου μὲν καὶ ἐλαίου ἀφθονία, ἥκιστα δὲ λοιμῶδες τὸ τοῦ ἀέρος κατάστη-

v. 2 ἀκαρπίας *F* || v. 4 παραψυχή] παρατροπὴ *F* || οὖσα ἡ σελήνη] scripsi ex *F*, ceteri οὔσης σελήνης || v. 5 εὔφορος μὲν καὶ αὐτάρκης ἔσται ὁ ἐνιαυτὸς περὶ *F* || v. 7 ὑγρὸς *F* || ἔπομβρος *F* || v. 8 post τίμια ἔσται *R* add. πάνυ || v. 9 ἔσται om. *F* || τιμιώτατα *CR* || post σελήνης *F* add. οὔσης || v. 10 μὲν θερινῆς] ἐν θέρει *F* || v. 11 ζαλαζώδης *C* || v. 14 τῶν om. *F* || v. 19 τὸν om. *F* || v. 20 ἐπομβρίσει *F* || ἐμποτίδ' *F* || v. 23 δὲ ante οἱονεὶ om. *F* || οἶνος *F* ||

ια. τῷ δ' ὑδροχόῳ ἢ τοῖς ἰχθύσιν ἐνδιατριβούσης D
ελήνης τὰ αὐτὰ μὲν ἔσται σχεδὸν περὶ τὴν τῶν
αρπῶν ἐκδοχήν, ἐλάττους δὲ ἔσονται οἱ ἰχθύες
ρὸς αὐτοῖς, καὶ διαφερόντως οἱ ποτάμιοι καὶ ὅσοι
αλάσσης ἔξω μειωθήσονται.

## ΠΕΡΙ ΚΕΡΑΥΝΩΝ

163 A

43. Τὰς φύσεις τῶν πραγμάτων λέγειν, καὶ
πως γίνεσθαι κεραυνοὺς ἡ παλαιότης ὑπολαμβάνει,
οῖς ἀρχαιοτέροις ἀποχρώντως τῆς περὶ τῶν τοιού-
ων θεωρίας διαληφθείσης οὐ τούτου καιρός, οὐδὲ
ὸ ἐπάγγελμα τουτὶ προύθηκεν, ἀλλ' ὅπως κατὰ
ὴν Θούσκων παράδοσιν ἐπιγνωσθεῖεν οἱ κεραυνοί, B
ί ἄρα παραδηλοῦσιν ἐκπίπτοντες. ἐν τούτοις μὲν
ἰδέναι χρὴ ὡς οὐ κατὰ πάντα τὸν ἐνιαυτὸν κεραυνοὶ
ποθλίβονται· οὐδὲ γὰρ ἐπὶ θέρους ἢ ἐπὶ χειμῶνος
οῦτο συμβαίνειν πέφυκε καθόλου, ἀλλ' ἐν ἦρι ἢ
ετοπώρῳ, περὶ τὴν πλειάδος καὶ ἀρκτούρου ἐπι-

v. 1 ἢ] ἤτοι *CR* || v. 2 τὰ αὐτὰ] ταῦτα *F* || v. 3 δὲ corr. [ercher pro γὰρ || οἱ om. *F* || v. 5 ἔξω μειωθήσονται] sic *F*, ξωμιωθησονται *C*, ἔξω μαιωθήσονται *R* || v. 6 c. 43—52 repe- itur etiam in *V* et *L* fol. 16 v. || v. 7 τὰς φύσεις] τὸ τῆς φύ- εως *L* || v. 8 ὅπως] οὕτως *C* || ὑπολαμβάνειν *C* || post ὑπολαμ- άνει *L* add. περιττὸν || v. 9 ἀρχαίοις *CL* || τῶν τοιούτων] ούτων *L* || v. 10 οὐ] οὐδὲν γὰρ *L* || οὐδὲ — προύθηκεν] m. *L* || v. 13 προδηλοῦσιν *L* || v. 14 οὐ κατὰ πάντα] οὐκ παντα *C*, οὐκ ἀνὰ πάντα coni. Bekker || v. 15—16 Plin. [ 135 *hieme et aestate rara fulmina* || ἐν θέρει ἢ χειμῶνι ; || ἢ ἐπὶ] οὐδὲ ἐπὶ *CV* || v. 16 πέφυκε συμβαίνειν *L* || Plin. [ 136. *vere autem et autumno crebriora fulmina* Arrhian. ap. tob. ecl. phys. I 29 p. 610 Heeren. πλεῖστοι δὲ ἦρος καὶ ετοπώρου . . περί τε πλειάδος καὶ ἀρκτούρου ἐπιτολήν. || v] ἐπὶ *L* || v. 17 τὴν] τῆς *L* ||

τολήν. ὅθεν οὐδὲ ἐν Ϲκυθίᾳ ἢ ϲυνελόντι εἰπεῖν ἐπὶ τὸ ἀρκτῷον κέντρον κεραυνοὺϲ βάλλεϲθαι, ἤγουν ἐπὶ C τὸ νότιον, κέκριται, διὰ τὸ ψυχρὸν καὶ θερμὸν τοῦ κατὰ τοὺϲ χώρουϲ ἐκείνουϲ καταϲτήματοϲ. ἐπὶ δὲ τῆϲ Ἰταλίαϲ ὡϲ μάλιϲτα· εὔκρατοϲ γὰρ ϲχεδὸν παρὰ πᾶν χωρίον ὁ κατ' ἐκείνην ἀήρ, ἀπὸ μὲν νότου πλευρᾶϲ ἑκατέραϲ τῷ βορρᾷ ἰάπυγί τε κώρῳ τε ἐξ Ἄλπεων καταπνεομένηϲ πάϲηϲ τῆϲ ὑποκειμένηϲ τῷ Ἀπεννίνῳ βαθείαϲ, ἀπὸ δὲ τοῦ πρὸϲ λίβα νεύματοϲ τῷ νότῳ, καὶ νότῳ οὐ τῷ ξηρῷ καὶ βαρεῖ ἀλλὰ τῷ γονιμω- D τάτῳ πάντων, οἷον εἶναι τοιοῦτον ἡ παρήκουϲα πρὸϲ Γάδειρα ἐπὶ τὸ Ἀτλαντικὸν μεγάλη παραϲκευάζει θάλαϲϲα, κιρνῶϲα ταῖϲ ψυχραῖϲ ἀναθυμιάϲεϲι τὴν ἀτμώδη καὶ λοιμικὴν τοῦ μεϲημβρινοῦ νότου θερμότητα. 170 A καὶ τὸ δὴ πάντων τῇ χώρᾳ τῆϲ εὐκραϲίαϲ αἰτιώτατον, ἄνωθεν τῷ Ἰονίῳ, κάτωθεν δὲ τῷ Τυρϲηνικῷ παρακλύζεται πελάγει. ὅθεν δίϲ τε τὰ θρέμματα τοῦ ἔτουϲ ἀπογεννᾶν πέφυκε, τυρόϲ τε οὐ λείπει „οὔτ' ἐν θέρει οὔτ' ἐν ὀπώρῃ.“ τοιαῦτα μὲν ἄν τιϲ περὶ Ἰταλίαϲ εἴποι.

v. 1—4 Plin. II 135. *quae ratio inmunem Scythiam et circa rigentia a fulminum casu praestat et e diverso nimius ardor Aegyptum.* || v. 1 ϲυνελόντι corr. H. pro ϲυνελόντα || v. 2 κεραυνὸϲ βάλλεται *L* || ἤγουν sequ. corrupta sunt; H. mavolt οὐδὲ || v. 3 κέκριται om. *L* || τοῦ om. *L* || v. 4 κατάϲτημα *L* || v. 4—6 Plin. II 136. *qua ratione crebra in Italia, quia mobilior aer mitiore hieme et aestate nimbosa semper quodammodo vernat vel autumnat.* || v. 6 ἀπὸ μὲν νότου — πελάγει (v. 17)] om. *L* || v. 7 κώρῳ τε] corr. H., χώρω δὲ *C*, χώρα καὶ *V* || v. 11 οἷον εἶναι τοῦτον vel ὃν εἶναι τοιοῦτον mavolt H. || v. 17 post τὰ add. *L* ἐν αὐτῇ || τοῦ ἔτουϲ om. *L* || v. 18 ὑπογεννᾶν *L* || τυρόϲ τε] corr. H. pro τυρὸϲ δὲ || „οὔτ' ἐν θέρει, οὔτ' ἐν ὀπώρῃ“ sunt verba Homeri μ 76 || v. 19 τοιαῦτα—εἴποι (v. 20)] om. *L* ||

44. Διάφορος δὲ καὶ οὐ μονοειδὴς ἡ τῶν κεραυ-
ῶν φύσις. τοὺς μὲν γὰρ ψολόεντας ἡ παλαιότης B
ιλεῖ, τοὺς δὲ ἀργῆτας, σκηπτούς τε καὶ πρηστῆρας.
ὐδὲ γὰρ πάντες ταὐτὸ πράττουσιν. εἰσὶ δὲ οἳ καὶ
ναστρέφουσι πρὸς τὰς ῥήξεις τῶν νεφῶν, ὅθεν καὶ
ἐθλίβησαν. καὶ οἱ μὲν διάπυροι πρηστῆρες, οἱ δὲ
ἡ πυρώδεις τυφῶνες, οἱ δ' ἔτι μᾶλλον ἀνειμένοι
νεφίαι. αἰγίδες γε μὴν λέγονται οἱ ἐν συστροφῇ
υρὸς φερόμενοι. ταύτῃ αἰγίδα Διὶ περιτίθησιν ὁ λό-
ος, οἱονεὶ τὸν ἀέρα καταιγίδος καὶ συσσεισμοῦ αἴτιον
αραινιττόμενος. εἰσὶ δὲ καὶ ἕτερα σχήματα κεραυ- C
ῶν· ἑλικίας αὐτοὺς τὰ βιβλία καλεῖ, ὅτι ἑλικοειδῆ
ραμμὴν ἐν τῷ καταφέρεσθαι παραδεικνῦσιν. ἔστι δὲ
αυμάσαι κἀν τούτῳ τὴν φύσιν καὶ τὸ ἄβατον τῶν
ν αὐτῇ θεωρημάτων. οὐδὲ γὰρ πάντες (καίτοι πάν-
ες ἐξ ἀέρος καὶ συστροφῆς νεφῶν φερόμενοι) τὰ αὐτὰ
λλήλοις δρῶσιν. ὁ γὰρ ἐν αὐτοῖς λεγόμενος ἀργής,
ν καὶ λαμπρὸν ἐξαιρέτως καλοῦσιν οἱ ἀρχαῖοι, πολ- D
άκις ἐμπεσὼν ἐπὶ πίθον ἢ ἄγγος ἁπλῶς ἢ οἴνου ἢ
δατος, τὸ μὲν περιέχον ἀπήμαντον τὸ δὲ ἐμπεριε-
όμενον ἄφαντον ἐποίησεν. οὐχ ἥκιστα δὲ καὶ ἐν

v. 1—15 similia narrat de mensib. III 15 et IIII
3, cf. Aristotel. meteor. III 1, 9 sq. et quos laudat in
ommentar. ad l. s. Ideler vol. II p. 259 sq., praeter-
a Plin. II 133. 134; Apulei. de mundo cap. 12 et 15 ||
. 1 καὶ om. *C* || v. 6 εἰ μὲν *L* || v. 7 μὴ om. *L* || ἀνι-
ένοι *C* || v. 8 γε] δὲ *L* || v. 9 ταύτῃ — παραινιττόμενος
v. 11)] om. *L* || v. 11 παραινιττόμενοι *C* || v. 16 φερόμενοι]
τρεφόμενοι *C* || v. 17—21 Plin. II 137. *tertium est quod
'arum vocant mirificae maxume naturae, quo dolia exhau-
iuntur intactis operimentis nulloque alio vestigio relicto*, cf.
rrhian. ap. Stobaeum ecl. phys. I 29 p. 608 || v. 19 ἢ ante
ἴνου om. *CL* || v. 20 ἀπήμαντος *C* || περιεχόμενον *V* || v. 20

cκεύεcι χρυcίον ἢ ἀργύριον φέρουcιν ἐμπεcὼν τῷ
172A ἴcῳ τρόπῳ τὰ μὲν ἔνδον ἔτηξε, τὰ δὲ ἔξωθεν ἔcω-
cε. καὶ τὸ δὴ πάντων θαυμαcιώτατον ἐπὶ γυναικὸc
ἐγκύμονοc cυμβῆναί φηcιν ὁ μέγαc Ἀπουλήϊοc, καὶ
γυναικὸc οὐκ ἠγνοημένηc, Μαρκίαc δὲ ἐκείνηc τῆc
Κάτωνι τῷ τελευταίῳ cυνοικηcάcηc. ἐμπεcὼν γὰρ
αὐτῇ κεραυνὸc ὁ λεγόμενοc ἀργῆc ἤτοι λαμπρὸc αὐ-
τὴν μὲν παντελῶc ἐφύλαξεν ἀβλαβῆ, τὸ δὲ ἐν αὐτῇ
B διεφόρηcεν οὕτωc ἀνεπαιcθήτωc ὡc μηδὲ αὐτὴν cυν-
ιδεῖν ὅ τι γέγονε τὸ ἐν αὐτῇ, καίτοι πρὸc ἔξοδον
ἔχον. τοιαύτην μὲν κατ' ἐξαίρετον ἐνέργειαν ἡ τοῦ
ἀργῆτοc εἴληχε φύcιc.

45. Γενικῶc δ' εἰπεῖν, ἀβλαβῶc φυλάττεται ἀπὸ 341
κεραυνῶν καὶ οὐδὲ βάλλεται τὴν ἀρχὴν ἐν μὲν φυτοῖc
δάφνη καὶ cυκῆ· καὶ γὰρ ἡλίου ταῦτα. ὅθεν καὶ δά-
φνην φιλεῖν Ἀπόλλων μυθεύεται, οἷον ὁ ἥλιοc· καὶ
C εἰc λέοντα μεταβαλλόμενοc, ἀντὶ τοῦ εἰc πῦρ, οὐ

— v. 2 Plin. l. s. *aurum et aes et argentum liquatur intus sacculis ipsis nullo modo ambustis ac ne confuso quidem signo cerae*, cf. Arrhian. l. s.

v. 2 ἔνδοθεν *L* || ἐκτὸc *L* || v. 3—11 Plin. l. s. *Marcia princeps Romanarum icta gravida partu exanimato ipsa citra ullum aliud incommodum vixit.* || v. 3 τὸ δὴ] om. *L* || πάντωc *L* || καὶ ante ἐπὶ add. *CV* || ἐπὶ—μέγαc] cυμβῆναι ἐπὶ ἐγγυμονούcηc γυναικὸc φηcὶν *L*, qui saepe immutatis et praetermissis verbis epitomes speciem prae se fert ita ut discrepantias eius non nisi ad rem facientes afferam. || v. 4 pro Ἀπουλήϊοc perperam H. Πλίνιοc suspicatur || v. 11 ἐνέργειαν om. *V* || v. 13— p. 95 v. 6 eadem fere narrat Lydus de mensib. III 52 || v. 13—15 Plin. II 146. *ex eis quae terra gignuntur lauri fruticem non icit.* Plutarch. symp. V 9, 4 ὡc φαcιν, οὐ κεραυνοῦται (ἡ cυκῆ). cf. IIII 2, 5 et Geoponic. VII 11 et XI 2 || v. 13 ἀβλαβῆ *L* || v. 15—p. 95 v. 1 Plin. XV 134. *(laurus) grata Apollini .... quia manu satarum receptarumque*

φθείρει τὴν δάφνην. ἐν δὲ πτηνοῖς ἀετός, ἐν δὲ ὑγροῖς φώκη· ὅθεν καὶ κεραυνοφόρος ὁ ἀετὸς καὶ Διὸς εἶναι νενόμισται. ἡ δὲ φώκη ὡς ἀπήμαντος ἐπιβολῇ κεραυνοῦ, μάρτυς ἡ πεῖρα ἀποδέδωκε· τῶν γὰρ νεῶν τὰ ἱστία, ἐν αἷς οἱ βασιλεῖς πλέουσι, φωκείοις εἴθισται ἀποδιφθεροῦσθαι δέρμασιν. οὐ πλέον δὲ πέντε ποδῶν κατακρύπτεσθαι κεραυνὸς πέφυκεν εἰς γῆν, ἐξωθούμενος ἄνωθεν· ὁ γὰρ ἀριθμὸς γηϊνώτατος. ἔστι D
δ' ὅτε καὶ ὑπ' αἰθρίῳ τῷ ἀέρι πίπτουσι κεραυνοί· ὅπερ εἰ συμβαίη, οὐκέτι τὸν ἐπὶ τοῖς ζῳδίοις ἥλιον ἢ ἑτέραν γοῦν τῶν ἐγνωσμένων δέοι ἑρμηνείαν τοῦ ἐσομένου θηρᾶσθαι, ἀλλ' αὐτόθεν ἀποφήνασθαι ἀνα- 174 A
τροπὴν μὲν τοῖς κοινοῖς, ἀπώλειαν δὲ τῷ παντελεῖ χωρίῳ, ἐν ᾧ τοιοῦτό τι συμβήσεται. ἄλλην δὲ ἐκ τοῦ ἐναντίου ὁ Νιγίδιος ἐν τῇ τῶν Ὀνείρων ἐπισκέψει παραδίδωσιν ἐπὶ τοῖς κεραυνοῖς ἑρμηνείαν. φησὶ γὰρ πᾶσι μὲν καθόλου ἀπευκταίαν εἶναι τὴν τῶν σκηπτῶν

*in domos fulmine sola non icitur.* 135. *laurus quidem manifesto abdicat ignis crepitu et quadam detestatione.* ||

v. 1—2 Plin. II 146. *nec e volucribus (percutit fulmen) aquilam, quae ob hoc armigera huius teli fingitur.* || v. 3—6 Plin. l. s. *pavidi . . tabernacula pellibus beluarum, quas vitulos appellant (tutissima putant), quoniam hoc solum animal ex marinis non percutiat.* cf. Nonnus de morb. curat. c. 260. ταῦτα ἀποτρέπουσι κεραυνούς . . . φώκης δέρμα ἢ ὑαίνης· τούτων δὲ τῶν ζῴων τὰς δορὰς περιφέρουσι καὶ τὰ τῶν αὐτοκρατόρων πλοῖα. Plutarch. symp. III 2, 5. διαφεύγει τὸν κεραυνὸν . . . ἡ συκῆ καὶ τὸ δέρμα τῆς φώκης, ὥς φασι καὶ τὸ τῆς ὑαίνης, οἷς τὰ ἄκρα τῶν ἱστίων οἱ ναυκληροὶ καταδιφθεροῦσιν. || v. 3 ἐπιβουλῇ *C* || v. 5 ἐν οἷς *C* || φωκίοις ἤθισται *C* || v. 6—8 Plin. l. s. *nec unquam quinque altius pedibus descendit in terram.* || v. 7 κεραυνοὺς *C* || v. 12 ἀποφήβασθαι *C*, ἀποφοιβάσαι coni. Bekker || v. 15 ἐπισκίψει *C* || v. 17 cf. Müller Etrusc. II p. 170 ||

φοράν, κἂν εἰ μὴ τυχὸν βλάπτοιεν, τοῖς δ' ὄναρ
B τουτὶ πάσχειν φανταζομένοις αἰσιώτατον καὶ λαμ-
πρᾶς τύχης προμάντευμα.

46. Ἄξιον δὲ ζητῆσαι τίνος χάριν ἐπὶ μὲν τῶν
ἄλλων διοσημειῶν τὴν σελήνην, ἐπὶ δὲ μόνων τῶν
κεραυνῶν τὸν ἥλιον ἡ ἀρχαιότης ἐπετήρησεν. εἴρη- 32
ται τοίνυν πολλαχοῦ ὡς πάσης τῆς ὁποιδήποτε τυγ-
χανούσης θερμῆς φύσεως καὶ πυρὸς ταμίας καὶ αἴτιος
ἥλιός ἐστι, καὶ διαφερόντως ἐκείνου τοῦ πυρὸς λέγω
τοῦ κατ' ἐνέργειαν δραστικοῦ, καὶ ἐν ᾧ οὐδεμίαν ἡ
C σελήνη μετουσίαν ἔχειν φαίνεται. τί γὰρ κεραυνοῦ
δραστικώτερον ἢ πυρωδέστερον; ἐν ᾧ τοσαύτη τίς
ἐστιν ἡ κατὰ φύσιν ὀξύτης ὡς μηδὲ ἓν σῶμα παντελῶς
ὑπομένειν αὐτόν· ὥστε ἐπειδὴ μὴ μόνον ἐστὶν ὑγρό-
τητος ἔξω, ἀλλὰ καὶ πάσης τῆς ὁπωσδήποτε ὑποπι-
πτούσης αὐτῷ φύσεως σκεδαστής, δῆλον ὅτι ἡ σελήνη
ἀλλοτρία κεραυνῶν ἐστί. καὶ γὰρ ὑγρὰ τὴν φύσιν καὶ
ἐπὶ τῆς ὑγρᾶς τεταγμένη ζώνης, εἰκότως τε οὐ δυνα-
D μένη τὰ διὰ τῶν κεραυνῶν προλεγόμενα δηλῶσαι,
ὥστε ἥλιος αἴτιος κεραυνῶν. ταύτῃ Ζεὺς ὁ αὐτὸς
καὶ Ἥλιος τοῖς μυθικοῖς λέγεται, καὶ κεραυνὸν ἐπι-
φέρεται, καὶ ἀετὸς ὑπηρέτης αὐτῷ. καὶ ὅσα κατὰ

v. 5 τῆς σελήνης *C* || v. 6—10 cf. Ptolem. tetrab. fol. 5 || v. 7 πολλαχοῦ] sic *L*, πολλαχῶς *CV* || ὁπουδήποτε coni. H. || v. 8 καὶ πυρὸς] κἂν πυρὸς *C* || v. 9—22 cf. Plin. II 82 *latet plerosque magna caeli adsectatione conpertum a principibus doctrinae viris* (i. e. Babyloniis cf. II 191) *superiorum trium siderum ignis esse qui decidui ad terras fulminum nomen habeant, sed maxume ex his medio loco siti, fortassis quoniam contagium nimii umoris ex superiori circulo atque ardoris ex subiecto per hunc modum egerat, ideoque dictum Iovem fulmina iaculari.* || v. 17 cf. Ptolem. tetrab. fol. 5 || v. 18 ὑγρῆς *C* || v. 19 δηλώσει *C* ||

φύϲιν θερμά, καὶ ἡλίῳ προϲφυῆ. ὀρθῶϲ οὖν τὸν ἥλιον οἱ ἀρχαῖοι, καὶ οὐ τὴν ϲελήνην, ἐπὶ τῆϲ τῶν κε- 176 A ραυνῶν θεωρίαϲ ἐπετήρηϲαν. ἐκείνοιϲ τοίνυν ἀκολουθοῦντεϲ τὰ εἰρημένα αὐτοῖϲ καθ' ἑρμηνείαν ἐροῦμεν.

47. Ἥλιοϲ κριῷ. κεραυνὸϲ ἐνϲκήπτων ἐπὶ γῆϲ εἰ μὲν δένδρῳ ἐμπέϲοι, τηρεῖν δεῖ ποίῳ τούτῳ· οὐδὲ γὰρ πλανᾶϲθαι πέφυκε καταφερόμενοϲ, ἀλλὰ ῥοιζηδὸν καὶ κατ' εὐθεῖαν καὶ οὕτωϲ ἀπλανῶϲ κατα- B φέρεται. καὶ εἰ μὲν ἀμπέλου καθάψεται, ἐλάττωϲιϲ ἔϲται τοῦ οἴνου, εἰ δὲ ἑτέρου τινὸϲ τῶν δένδρων, 343 τὴν ἐξ ἐκείνου καρπῶν ἔνδειαν παραδηλοῖ. εἰ δὲ ἐπὶ ποταμὸν κατενεχθείη, ἐνδεὴϲ μὲν ὁ ποταμὸϲ ὑδάτων ἔϲται, ὅϲον πρὸϲ αὐτόν, ὄλεθροϲ δὲ τοῖϲ ἐν αὐτῷ νηχομένοιϲ ἐπιγενήϲεται. εἰ δὲ ἐπὶ θαλάϲϲῃ, τὸν τόπον ἐπιτηρεῖν δεῖ καθ' οὗ φέρεται ἡ φλόξ· πάντωϲ γὰρ ἐκεῖνοϲ ὁ τόποϲ, καὶ οὐκ αὐτὸϲ μόνοϲ ἀλλὰ καὶ τὸ περὶ C αὐτὸν κλῖμα, ἢ πολέμῳ ἢ πειρατῶν δόλοιϲ ταραχθήϲεται. εἰ δὲ ἐν πολιτικῷ ἢ δημοϲίῳ κατενεχθείη τόπῳ, ἐμφυλίουϲ τε πολέμουϲ καὶ ϲτάϲειϲ καὶ τοῦ πολιτεύματοϲ ἀνατροπὴν δηλοῖ· αὐτὸν δὲ τὸν τόπον, καθ' οὗ ἐξαιρέτωϲ φέρεται, οὐκ ἀλλοιώϲει μόνον, ἀλλὰ καὶ τὴν ἐν αὐτῷ τύχην παντελῶϲ ἀναβάλῃ. εἰ δὲ ἐπὶ τείχουϲ πέϲῃ, βλάψῃ δὲ μηδέν, πολεμίων ἔφοδον ϲημαίνει· εἰ δὲ διαφθείρῃ τοῦ τείχουϲ μέροϲ τι, ϲκο- D πητέον κατὰ ποίου τινὸϲ μέρουϲ καὶ πρὸϲ ποῖον ἀφορῶντοϲ κέντρον τὸ τῆϲ διοϲημαϲίαϲ γένοιτο· ἐξ ἐκείνου γὰρ πάντωϲ τοῦ κλίματοϲ πολεμίουϲ ἀναμένειν δεῖ κατὰ τοῦ τείχουϲ. εἰ δὲ καθ' ἱεροῦ πέϲῃ κεραυνόϲ, τοῖϲ ἐνδόξοιϲ τοῦ πολιτεύματοϲ καὶ τοῖϲ περὶ τὴν βα- 178 A

v. 8 ῥυζηδὸν *C* || v. 11 ἐκείνων *C* || v. 15 φέρηται *C* || v. 21 φέρηται *C* || v. 23 πέϲει *C* || πολέμων *C* || μὲν ante ἔφοδον del. Hercher || v. 24—28 cf. Müller Etrusc. II p. 165 ||

cιλείαν αὐλὴν ὁ κίνδυνος ἐνσκήψει. εἰ δὲ κατ' ἀγαλ-
μάτων κατενεχθῇ, ποικίλας καὶ ἐπαλλήλους τὰς συμφο-
ρὰς τοῖς πράγμασιν ἀπειλεῖ· εἰ γὰρ χαρακτῆρες ἰδεῶν
τινῶν καὶ κόσμια πόλεων τὰ ἀγάλματα ὑπωπτεύθη
τοῖς παλαιοῖς, ἀρὰ τοῖς πράγμασιν ἡ περὶ αὐτὰ ὕβρις.
B 48. Ἥλιος ταύρῳ. ἐὰν κεραυνὸς κατενεχθῇ
ἐπὶ καρποφόρον δένδρον, εὐκαρπίαν τοῖς κατ' αὐτὸ
καρποῖς σημαίνει· τῷ δὲ γένει τῶν βοῶν ἐπιβλαβὲς 341
τὸ σημεῖον τοῦτο. εἰ δὲ ἐπὶ ποταμὸν κατενεχθείη ὁ
κεραυνός, λοιμώξει τὸ ὕδωρ καὶ τρόμος ἐπιγενήσεται
τοῖς σώμασι τῶν ἀνθρώπων, ἀνατροπὴ δὲ τῶν πο-
ταμίων ἰχθύων γενήσεται. εἰ δὲ εἰς θάλασσαν κατὰ
τόδε καιροῦ κατενεχθείη ὁ κεραυνός, ἀγαθὰ σημαίνει
τοῖς πλησιοχώροις· οἱ γὰρ πειρατεύοντες χείρω πρά-
C ξουσιν. εἰ δὲ ἐπὶ τείχους κατενεχθείη, οὐ καλὸν τοῖς
βοσκήμασιν· ἢ γὰρ διαφθαρήσονται ἢ ὑπὸ πολεμίων
διαρπαγήσονται. εἰ δὲ καὶ μέρος τοῦ τείχους τῇ βολῇ
τοῦ κεραυνοῦ καταφθαρείη, ταῖς νομαῖς τῶν χωρίων
ἔσται λοιμὸς καὶ ἔφοδος πολεμίων οὐκ εὐχερὴς εἰς
ἄμυναν, καὶ ἄλλαι δέ τινες βλάβαι κάρτα σφαλεραὶ
προσγενήσονται. εἰ δὲ κατὰ τὸν καιρὸν τοῦτον ἐπὶ
ἱερὸν ὁ κεραυνὸς κατενεχθείη, χωρίων δημοσίας ζη-
D μίας ἀπειλεῖ· δεῖ δὲ ὅμως τοὺς ἐφόρους τῶν τοιού-
των ἱερῶν θεραπεύειν εἰς τὸ ἀποστρέψαι τὰ ἀπειλού-
μενα. εἰ δὲ κατ' ἰδιωτικῆς ἢ βασιλικῆς οἰκίας κατε-
νεχθείη κεραυνός, συμφορὰς ἀναισίους παραδηλοῖ
τοῖς κεκτημένοις.

49. Ἥλιος διδύμοις. κατὰ τὴν ἐπιτολὴν ταύ-
180 A την εἰ κεραυνὸς ἐπὶ δένδρου καρπίμου κατενεχθείη,

v. 1 αὐλὴν corr. Hercher pro αὐτὴν || v. 3 ἰδεῶν corr. Hercher pro εἰδεῶν || v. 6 κατενεχθείη *V* || v. 7 ἢ ἐπὶ *CL* || v. 14 οὐ χειρωπράξουσιν *C* || v. 17 βουλῇ *C* ||

βλάψει τοὺς γεωργικοὺς καὶ τὰ καρποφόρα δένδρα, οὐχ ἥκιστα δὲ ποταμοὺς καὶ πηγάς· λοιμώξει δὲ τὸ ὕδωρ ὡς πᾶσαν καταφθεῖραι ἡλικίαν. εἰ δὲ ἐπὶ θαλάσσης, πολεμίων ἔφοδον ἀπειλεῖ· τὸ δὲ πολὺ μέρος ἢ νόσῳ φθαρήσεται ἢ πολεμίοις παραδοθήσεται, ὡς σφόδρα μετρίους ἀπολειφθῆναι. εἰ δὲ νότου πνέον-
345 τος κατὰ δημοσίου χωρίου κατενεχθείη κεραυνός, B
παντελῆ φθορὰν ἀνθρώποις ἀπειλεῖ· δύο δέ τινες κατὰ τῆς βασιλείας ἐπαναστήσονται, ὡς μερισθῆναι τὴν βουλὴν καθ᾽ ἑαυτήν· μικρὸν δὲ ὕστερον ἑκάτερος αὐτῶν ἀποφθαρήσεται, πολλοὶ δὲ χάριν ἐκείνων κινδυνεύσουσιν. εἰ δὲ ἐπὶ τείχους κατὰ τόδε καιροῦ σκηπτὸς ἐκπέσῃ, τὰ αὐτὰ σημαίνει· πόλεμοι γὰρ ἔσονται, ἀλλ᾽ οὐκ εὐτυχεῖς τοῖς πολεμίοις. ἐπισημήνασθαι δὲ χρεὼν ἐκ ποίου κλίματος τοῦ ἀέρος ἐκπί- C
πτοι ἡ φλόξ· ἐπ᾽ ἐκείνου γὰρ φυλακῆς καὶ ἀσφαλείας δέον· καὶ γὰρ ἐξ αὐτοῦ πολεμίων ἔφοδος ἔσται.

Ἥλιος καρκίνῳ. εἰ κατὰ τὴν ἐπιτολὴν τοῦ καρκίνου κεραυνὸς ἐπὶ ὕλην κατενεχθείη, μετριώτερον ἔσται τὸ καυσῶδες τοῦ καιροῦ, λειψυδρία δὲ ἔσται. εἰ δὲ ἐπὶ θαλάσσης κατενεχθείη, στόλοις πολεμίων καὶ ναυμαχίαις ταραχθήσεται τὸ κλῖμα, ἀλλ᾽ οὐκ ἐπιμενεῖ χρόνῳ, ἔσται δὲ κρείττονα τὰ πράγμα- D
τα, καὶ οἱ πολέμιοι ἡττηθήσονται, καὶ ὁ στόλος αὐτῶν καταβυθισθήσεται. εἰ δὲ κατὰ δημοσίου τόπου κατενεχθείη τὸ πῦρ, θηρία ἑρπετὰ τοῖς κτήνεσιν ἐνοχλήσουσι, καὶ οὐχ ἥκιστα ἀνθρώποις· βιαιοτέρα δὲ ἔσται ἡ ἐξ αὐτῶν βλάβη τῷ τοῦ ἀέρος βαρεῖ κατα- 182 A
στήματι θερμαινομένη. εἰ δὲ ἐπὶ τείχους κατενεχθείη,

v. 18 εἰ] ἡ *C* || v. 25 δημοσίου τόπου] δημοσίου *L*, δημοσίους τόπους *CV* || v. 28 αὐτῷ *C* ||

ἐμπρησμοὺς σημαίνει· καὶ πόλεμος δὲ κινηθήσεται οὐκ εὐτυχὴς τοῖς πράγμασιν. εἰ δὲ παντελῶς καταφθαρείη τῷ σκηπτῷ τὸ τεῖχος, ἐμπρησμοὺς κατὰ τῶν ἀναγκαίων τῆς πόλεως μερῶν προσδοκητέον, δόλοις δὲ οὗτοι καὶ ἐπιβουλαῖς γενήσονται, ἕψεται 346 δὲ καὶ πόλεμος οὐ μικρός, καὶ βλάβη γενήσεται τοῖς τόποις.

B 50. Ἥλιος λέοντι. κατὰ τοῦτον τὸν καιρὸν εἰ κατενεχθείη κεραυνὸς καθ' οἵου δήποτε τόπου ἢ μέρους ἢ ποταμοῦ ἢ θαλάσσης, ὄλεθρον τοῖς βασιλεῦσι καὶ τοῖς ἐν δυναστείαις σημαίνει· καὶ οὐκ ἔστι τις διαφορὰ περὶ τούτου. εἰκότως τε κοιναὶ συμφοραὶ τοῖς δημοσίοις βλαστήσουσι· συγκινδυνεύσειν γὰρ εἰκὸς αὐτοὺς τοῖς βασιλεῦσι. καὶ οὐκ ἔσται ὁ νικῶν ἐν τοῖς μαχομένοις, ἀλλὰ καθολικὴ φθορὰ αὐτῶν τε τῶν ἐν C δυνάμει καὶ οὐχ ἥκιστα τῶν ὑπὲρ αὐτῶν ἐνισταμένων ταῖς μάχαις. καὶ τὸ δὴ πάντων σχετλιώτερον, καταφθαρήσονται καὶ αἱ περιουσίαι τῶν πολλῶν, καὶ αἱ πόλεις πυρίφλεκτοι ἔσονται.

Ἥλιος παρθένῳ. ἡλίου δὲ ἐπὶ τὴν παρθένον ἰόντος εἰ κατενεχθείη κεραυνός, φθορὰν γυναικῶν ἀπειλεῖ σωφρόνων, πτῶσιν δὲ καὶ αὐτῇ τῇ βασιλίδι καὶ τοῖς αὐτῆς τέκνοις. ἐλάττωσις δὲ ἔσται τῶν δήμων, ἀποτεύξεται δὲ καὶ ἡ ἄμπελος· ταῖς δὲ παρθέ-D νοις καὶ γυναιξὶ γενήσονται συμφοραὶ ὡς καὶ ὑπὸ πολεμίων ἁλῶναι.

Ἥλιος ζυγῷ. ἐὰν δὲ ζυγῷ ὁ ἥλιος γένηται,

v. 5 δόλοις δὲ οὗτοι] καὶ ἐμπρησμοὶ δόλοις *CL* || v. 11 ἔσται *LV* || v. 13 δημίοις *C*, δήμοις suspicatur H. || βλαστήσουσι corr. Hercher pro βλασθήσονται || v. 17 σχεταιότερον *C* || v. 22 ἀποτελεῖ *L* || v. 23 αὐτῆς] αὐτοῖς *C* ||

εἰ cυμβῇ κεραυνὸν καταβληθῆναι, πᾶcα ἀδικία καὶ
ἀπληcτία καὶ φιλαρχία κατακρατήcει τῶν πραγμά- 184 A
των, ὡc καὶ περὶ τὰ θεῖα αὐτὰ τὰ τῆc ὕβρεωc ἀνε-
νεχθῆναι. ἀπορριφήcονται δὲ ὑπὸ τῶν βαcιλέων οἱ
χρηcτοὶ τοῦ πολιτεύματοc. τὰ δὲ μέτρῳ ἢ cταθμῷ
ἀποδιδόμενα οὐχ ἕξει τὸ δίκαιον. πάντων δὲ βαρυ-
τέρα ἔcται ἡ περὶ τὰ δημόcια τελέcματα cπουδή, οἵ
τε νόμοι καταφρονηθήcονται, καὶ οἱ δῆμοι ἐξ ἀλογίαc
ταραχθήcονται, καὶ ἐκ παντὸc τρόπου καὶ ἡ τοῦ θεοῦ
δειχθήcεται ὀργή.

51. Ἥλιοc cκορπίῳ. ὅταν δὲ cκορπίῳ γένη- B
ται, εἰ κατὰ δένδρου κατενεχθείη κεραυνόc, πλοῦτον
μὲν τοῖc κυρίοιc τοῦ δένδρου ἐπαγγέλλεται, τὸ δὲ
γεωργικὸν ἐλαττωθήcεται. ἐπικίνδυνοc δὲ καὶ ὁ
πλοῦc ἔcται, καὶ cυχνοὶ ἐπὶ τῆc θαλάccηc ἐκπεcοῦν-
ται κεραυνοί, ναυάγιά τε πολλὰ cυμβήcεται. εἰ δὲ
κατὰ δημοcίου τόπου ἐνcκήψει κεραυνόc, νεανίαc
ἀναιδὴc τῆc βαcιλείαc ἐπιλάβηται, ἀcώτων καὶ διε-
φθορότων cυντρεχόντων αὐτῷ. εἰ δὲ κατὰ τειχῶν C
κατενεχθείη κεραυνόc, πολέμουc ἐκ τῶν πληcιοχώ-
ρων καὶ φθορὰν τῇ νεολαίᾳ δεδιέναι χρή. οἱ δὲ πο-
λέμιοι μυρίοιc εἰcπεcοῦνται κακοῖc, ὡc εὐκταῖον αὐ-
τοῖc νομιcθῆναι τὸν θάνατον.

Ἥλιοc τοξότῃ. ὅταν δὲ ἥλιοc ἐπὶ τοξότην
γένηται, εἰ κατενεχθείη κεραυνὸc ἐπὶ ὕλην, ἐμπρη-
cμοὺc ταῖc ναυcὶν ἀπειλεῖ. εἰ δὲ ἐπὶ ποταμοῦ κατε-
νεχθείη, πολέμουc καὶ ναυμαχίαc cημαίνει, ὡc ἐρή-
μουc πολλοὺc ἐκ τῆc τοιαύτηc ἐφόδου γενέcθαι. κί- D

v. 3 pro περὶ H. mavolt πρὸc || v. 4 ὑπὸ corr. H. pro ἀπὸ || v. 14 ὁ πλοῦc] ἄπλοῦc *C* || v. 22 εὐκτέον *C* || v. 26 ἀποτελεῖ *L* ||

νηcιν δὲ οὐχ ἥκιστα ἀπειλεῖ Περcῶν, καὶ ἔνδειαν ταῖc πολιορκουμέναιc ὑπὸ πολεμίων πόλεcιν. εἰ δὲ πρὸc ταῖc ἡλίου δυcμαῖc cκηπτὸc κατενεχθείη, ἐμφυλίουc
186 A cημαίνει μάχαc· ἀλλ' οὐκ εἰc χρόνον ἐκταθήcεται τὰ τῆc διχονοίαc, κρείττονα δὲ ἔcται τὰ πράγματα, αὐτῶν τῶν αἰτίων τῆc cτάcεωc ἀπολλυμένων, ὥcτε τὸ πολίτευμα εἰρήνηc ἀπολαῦcαι.

52. Ἥλιοc αἰγόκερῳ. κατὰ τόδε καιροῦ κεραυνὸc καταφερόμενοc ἐφ' ὃν ἂν κατενεχθείη τόπον, γενικὴν ἱλαρίαν cημαίνει, εἰρήνην τε ταῖc πόλεcι καὶ
B εὐκαρπίαν τοῖc ἀγροῖc ἔπαινόν τε τοῖc βαcιλεῦcι τῆc πολιτείαc.

Ἥλιοc ὑδροχόῳ. κατὰ δὲ τὸν καιρὸν τοῦτον εἰ κεραυνὸc κατενεχθείη, ἐκδρομὰc τῶν ποταμῶν ἀπειλεῖ καὶ ἀφανιcμοὺc τῶν χωρίων. τὸ δὲ θέροc καυcῶδεc ἔcται, καὶ ἐλάττωcιc οἴνου καὶ ἐλαίου, ὡc πολλοὺc ἐκ τῆc ἐνδείαc μετανάcταc γενέcθαι.

Ἥλιοc ἰχθύcιν. ὅταν δὲ ἰχθύcιν ἥλιοc γένηται, εἰ κεραυνὸc κατενεχθείη, ζάλην τῇ θαλάccῃ ἀπειλεῖ, ναυαγία δὲ ἔcται βαρεῖα, καὶ ἀνατροπὴ μὲν
C τῶν ἰχθύων, ὀχληθήcεται δὲ οὐδὲν ἧττον ἡ θάλαccα ὑπὸ πειρατῶν. νέοc δέ τιc εὐγενὴc cτρατευcάμενοc ἀπολέcει τὸ πειρατικὸν καὶ ἔνδοξοc ἐπὶ τῇ νίκῃ γενήcεται. καὶ εἴρηται μὲν πρότερον ὡc οὔτε ἐν Cκυθίᾳ οὔτε ἐν Αἰγύπτῳ κεραυνοὶ καταφέρονται· εἰ δὲ τυχὸν κατενεχθείη κατὰ τόδε καιροῦ ἐπὶ τὰ εἰρημένα κλίματα κεραυνόc, ἀγαθὰ τοῖc ἐκεῖ cημαίνει.

v. 11 ὑγροῖc *L* || τῆc πολιτείαc] καὶ τοῖc μεγιcτάνοιc αὐτῶν *L* || v. 22 ὑπὸ] sic *L*, ἀπὸ *CV* || v. 23 τῇ νίκῃ coni. H. pro τὴν νίκην || v. 27 ἐκεῖcε *L* ||

## ΠΕΡΙ CΕΙCΜΩΝ D

53. Δήλων οὐcῶν τῶν εἰρημένων τοῖc πάλαι
φιλοcοφήcαcιν αἰτιῶν ἐπὶ τοῖc περὶ τὴν γῆν πάθεcι,
349 μίαν ἐκ παcῶν, τὴν περὶ τοῦ καταγείου πυρόc, τέωc
ἀποδεχόμενοc, ἐπεὶ καὶ τοῖc τόποιc, ἐν οἷc cυνεχῶc 188 A
cάλοι cυμβαίνουcιν, οἶδα γενόμενον ἐμαυτόν, ὀλίγα
ἄττα περὶ τῶν ὄψεcιν αὐταῖc ὑποπεcόντων ἡμῖν
ἀφηγηcόμεθα. καὶ γὰρ τὸ πῦρ, διεργαζόμενον καὶ
ἐξαραιοῦν τὴν ἐν βάθει γῆν, τουτὶ παραcκευάζει cυμ-
βαίνειν. ἀμέλει τὰ πληcιάζοντα τοῖc ἀναφυcήμαcι
καὶ ταῖc τῶν θερμῶν ἀναβολαῖc ὑδάτων πυκνότερον
cείεται, οἷα τὰ περὶ τὴν Φρυγίαν Λαοδίκειαν καὶ τὴν B
παρ' αὐτῇ Ἱερὰν πόλιν καὶ τὴν καθ' ἡμᾶc Φιλαδέλ-
φειαν, καὶ καθ' ὅλου τὴν ἐπὶ τάδε Ἀcίαν, καὶ τὰ
πλεῖcτα δὲ τῆc πρὸc δύνοντα ἥλιον Εὐρώπηc, Cικε-
λίαν λέγω καὶ Ἰταλίαν. καὶ γὰρ ἡ τῶν cειcμῶν γένε-

v. 1 dissertatio de terrae motibus (cap. 53—58 extr.) extat etiam in *R* fol. 70, in cod. Regio 1991 fol. 1 (in quo cum epitome tantum reperiatur, nullas eius scripturas enotavit Hase) in *L*, in quo inscribitur rubr. περὶ cειcμῶν καὶ τί τὸ αἴτιον τούτων ὧδε διαλεχθήcεται κατὰ φυcικὴν δύναμιν || cap. 53 cf. Aristot. meteor. II 8 || v. 5 pro καὶ H. mavolt κἀν || inde a v. 8 usque ad p. 105 v. 9 reperitur etiam in *F* et *G* de quibus vide epimetrum de terrae motibus || v. 9 ἐξηρετῶν *F* || v. 10 ante ἀμέλει *CR* ἢ add. quod H. mutat in ᾗ || v. 11 ἀναβολαῖc ὑδάτων] ὑδάτων ἀναδόcεcιν *G* || v. 12 αἴεται *C*, περιcείεται *G* || cf. Aristot. d. mund. p. 395b 26 sq. Bekker. || οἷα] om. *F*, ταῦτα δ' εἰcὶ *G* || τὴν om. *G* || Φρυγίαc *CGR* || post Φρυγίαc add. *G* καὶ || τὴν παρ' αὐτῇ] om. *FG*, τὴν παρ' αὐτὴν *L* || v. 13 τὴν καθ' ἡμᾶc] om. *FG* || v. 14 τὴν ἐπὶ τάδε] τὰ ἐπὶ τὴν *L* || v. 15 πρὸc] κατὰ τὸν *L* || v. 16 cf. Aristot. meteor. II 8, 9; Plin. II 194 || λέγω om. *F* ||

cιc πνευμάτων ἐcτὶ ξηρῶν διὰ cηράγγων ἰόντων· τοῦ δὲ πλεοναcμοῦ αἰτίαι πλείουc. πρώτη μὲν καὶ μεγίcτη ἡ τοῦ καταγείου πυρὸc ἐξαραίωcιc, δευτέρα δὲ ἡ τῆc θαλάccηc εἰc τοὺc cηραγγώδειc τόπουc ἐπιδρομή. C cυνεργεῖ δὲ καὶ πολυομβρία χειμῶνοc, καὶ θέρουc ἀνομβρία· ἡ μὲν γὰρ πιλοῦcα τὴν γῆν καὶ εἰc τὸ βάθοc ἀπωθουμένη τὸ πνεῦμα ἀρχὴν αὐτῷ θλίψεωc παραcκευάζει, ἡ δὲ ἐπιcπωμένη καὶ cύρουcα. (54). τῶν δὲ cειcμῶν οἱ μέν εἰcιν ἐπικλίνται οἱ δὲ βράcται, καὶ ἐπικλίνται μὲν οἱ κυματηδὸν ἐπὶ τὰ πλάγια cείοντεc, βράcται δὲ οἱ τινάccοντεc καὶ cείοντεc ἄνω καὶ κάτω. εἰcὶ δ' αὐτῶν οἱ μὲν ῥῆκται, οἱ δὲ cειcταὶ μόνον, οἱ D δὲ ἰζηματίαι, καὶ cειcταὶ μὲν οἱ τρόμον τινὰ τῆc γῆc ἢ καὶ cύμπτωcιν τῶν δεδονημένων ἐργαζόμενοι, ἰζη- 30 ματίαι δὲ οἳ τοῖc κοιλώμαcι τὴν ὑπερκειμένην εἰcκαθίζουcι γῆν, ῥῆκται δὲ οἱ τὰc καταπόcειc καὶ τὰ χά-

v. 1 πνευμάτων — πλείουc (v. 2)] sic scripsi ex *FG*, πνεύματόc ἐcτι ξηροῦ διὰ cηραγγώδουc φθαρτοῦ *CR*, πνεύματόc ἐcτι ξηροῦ *L* || v. 2 post μὲν add. οὖν *G* || post μεγίcτη add. αἰτία *G* || v. 3 post ἐξαραίωcιc add. ἐcτὶ *G* || v. 5 post δὲ add. ταύτῃ *G* || κατὰ τὸν χειμῶνα καὶ αὖ κατὰ τὸ θέροc *G* || v. 6 ἡ] εἰ *FL* || πηλοῦcα *CF* || v. 7 πνεῦμα καὶ ἀρχὴν *C* || ἐκθλίψεωc *FG* || v. 8 cείουcα *L* || v. 9— p. 105 v. 1 Aristot. de mundo p. 395 [b] 36 Bkk. τῶν cειcμῶν οἱ μὲν εἰc πλάγια cείοντεc κατ' ὀξείαc γωνίαc ἐπικλίνται καλοῦνται, οἱ δὲ ἄνω ῥιπτοῦντεc καὶ κάτω κατ' ὀρθὰc γωνίαc βράcται, οἱ δὲ cυνιζήcειc ποιοῦντεc εἰc τὰ κοῖλα χαcματίαι· οἱ δὲ χάcματα ἀνοίγοντεc καὶ γῆν ἀναρρηγνύντεc ῥῆκται καλοῦνται. || v. 9 ἐπικλίνται corr. H. ex Aristotele pro ἐπικλινίαι, quod semper omnes codices exhibent. || v. 10 ante ἐπικλίνται om. καὶ *CLR* || post μὲν add. εἰcιν *L* || v. 12 μόνον om. *F* || v. 13 εἰcζηματίαι *C*, ζηματίαι *L* || v. 14 ἢ] οἱ *C*, om. *FGL* || ζηματίαι *L* || v. 15 οἱ *GL* || κυκλώμαcι *CF GL* || εἰκαθίζουcι *C*, ἐγκαθίζουcι *FL*, ἐγκαθίζοντεc *G* || v. 16 δὲ om. *L* || καταπτώcειc *FG* || χάcματα] cχήcματα *L* ||

cματα διαπηδώcηc τῆc γῆc ἀποcχίζοντεc. ἔτι τῶν 190 A
ῥηκτῶν οἱ μὲν πνεύματα ἀναβάλλουcιν, οἱ δὲ ὑγρὰ καὶ πηλόν, οἱ δὲ μυκήματα, ἐνίοτε μὲν cὺν cειcμῷ, ἐνίοτε δὲ καὶ ἄνευ τούτου πιλούμενον τὸ πνεῦμα καὶ μετεμπῖπτον βρόμον τε καὶ ψόφον ῥηγνυμένων τινῶν, (ὡc εἰκὸc) ὑπὸ γῆν πετρῶν ποιεῖ. cυμβαίνουcι δ' ὡc ἐκ πλείονοc ἐν ἔαρι ἢ ἐν μετοπώρῳ, καὶ νηνεμίᾳ μᾶλλον ἢ ἀνέμων φορᾷ, περὶ πλειάδοc καὶ ἀρκτ- B
ούρου ἐπιτολήν.

Ταῦτα μὲν ἄν τιc πρὸc τὰc φυcικὰc ἐννοίαc ἀφορῶν εἰκονίcειε· προνοίᾳ δὲ ὅμωc καὶ ἐπιcκοπῇ τῆc δίκηc πάντα γίνεται. οὐ γὰρ εἰκῇ, ἐπεὶ τόδε τὸ πᾶν νόμοιc μὲν φυcικοῖc cυγκροτεῖται, προνοίᾳ δὲ θεοῦ καὶ λόγῳ cιγῆc ἐπέκεινα διοικεῖται. ὅθεν οὐ μό-

v. 1—3 Aristot. l. s. p. 396ª 5. τούτων δὲ οἱ μὲν καὶ πνεῦμα προcαναβάλλουcιν, οἱ δὲ πέτραc, οἱ δὲ πηλόν, οἱ δὲ πηγὰc φαίνουcι τὰc πρότερον οὐκ οὔcαc . . . γίνονται δὲ καὶ μυκητίαι cειcμοὶ cείοντεc τὴν γῆν μετὰ βρόμου. || v. 2 πνεύμα *F* || v. 3 ἐνίοτε — cειcμῷ] om. *L* || post cὺν add. τῷ *FG* || v. 4—6 Aristot. l. s. πολλάκιc δὲ χωρὶc cειcμοῦ γίνεται μύκημα γῆc, ὅταν τὸ πνεῦμα cείειν μὲν μὴ ᾖ αὔταρκεc, ἐνειλούμενον δ' ἐν αὐτῇ κόπτηται μετὰ ῥοθίου βίαc. cf. meteor. II 8, 38 || v. 4 πιλούμενον] πειλούμενον *C*, πηλούμενον γὰρ *F* || v. 5 μεταπίπτον *FGR* || v. 6—9 Aristot. meteor. II 8, 11 et 4 || v. 7 ὡc ἐπὶ τὸ πλεῖcτον *G* || v. 8 φθορᾷ *C* || inde a v. 10 usque ad finem capitis 58 extat etiam in *A*, ex quo edidit Schow in editione Lydi de mensibus p. 130—134 et in *P* fol. 186 rect., in quo rubre inscribitur Ἰωάννου Λαυρεντίου φιλαδελφέωc περὶ cειcμῶν μετὰ τὸ τὰ ἐν τῷ ἑτέρῳ βιβλίῳ γεγραμμένα ἀναγνῶcθαι καὶ ταῦτα. || v. 11 εἰκονίcειε] corr. Hercher, εἰκονίζεται *A*, εἰκονιcοι *L*, εἰκονίcῃ ceteri || v. 12 καὶ post ἐπεὶ add. *ALP* || v. 13 νόμοιc] sic *L*, μόνοιc *ACP*, λόγοιc *R* || v. 14 pro cιγῆc H. suspicatur τύχηc vel δίκηc ||

νον αὐτοὶ καθ' ἑαυτοὺς οἱ σεισμοὶ βλάπτουσι τοὺς καθ' ὧν συμβαίνουσιν, ἀλλὰ μὴν καὶ ἄλλων πόρρω
C που τόπῳ τε καὶ χρόνῳ μεριζομένων γίνονται μηνυταὶ οὐ μετρίων κακῶν. ὅτι δὲ οὕτω καὶ οὐκ ἄλλως τὴν τυχηρὰν ὁ περὶ αὐτῶν λόγος φεύξεται σύμβασιν, ἐκ τῶν ὑποκειμένων γνῶναι δυνατόν. αὐτὸς γὰρ Βικέλλιος ὁ Ῥωμαῖος ἐκ τῶν Τάγητος στίχων (περὶ οὗ καὶ Ἀπουλήϊος ὕστερον πλατεῖ καὶ ἐλευθέρου ποδὸς 351
ἀφηγήσατο λόγῳ) ταῦτα ῥήμασιν αὐτοῖς καθ' ἑρμηνείαν φησίν.

D 55. Ἥλιος κριῷ. ἐὰν γένηται σεισμὸς ἐπὶ μὲν τῆς Ἀσίας, κακὸν τῇ Συρίᾳ τῇ κοίλῃ καὶ τῇ Παλαιστίνῃ καὶ τῇ Ἰουδαίᾳ ἀπειλεῖ, ἐπὶ δὲ τῆς Εὐρώπης
192 A Βρετανníαις, Γαλατίαις, Γερμανίαις, Βαστάρναις. οἱ δὲ βασιλεῖς στρατεύσονται κατὰ τῶν πολεμίων, ἀλλ' οὐκ εὐτυχῶς· ἐλαττωθέντων γὰρ αὐτοῖς τῶν στρατευμάτων οἱ στρατηγοὶ ἄπρακτοι ἀναζεύξουσι. πλείων

v. 3 τόπῳ τε καὶ χρόνῳ] sic *L*, τρόπων τε καὶ χρόνων *P*, τόπων τε καὶ χρόνων ceteri || ante γίνονται *L* add. κακῶν et om. postea οὐ μετρίων κακῶν || v. 4 μετρίων] μικρῶν *A* || v. 5 αὐτὴν *AP*, αὐτὸν *L* || v. 6 βικέλιος *AP*, βεκέλλιος *L* || v. 8 ante πλατεῖ in *P* spatium 7 litterarum || ποδὸς transponit *L* ante καὶ || ἐλευθέρῳ *ACLP* || πόδες *C* || v. 9 ἀφηγήσαντο *CP* || v. 10 φασὶν *P* || v. 11 ἥλιος — σεισμὸς] ἡλίου ἐν τῷ κριῷ. ὁπόταν ἡλίου ὄντος ἐν τῷ κριῷ σεισμὸς γένηται *A*, ὁπόταν ἡλίου ὄντος ἐν κριῷ σεισμὸς γένηται. ἥλιος κριῷ rubr. *P* || ante κριῷ *L* add. ἐν et sic semper || v. 12 τῇ κοίλῃ Συρίᾳ *A*, τῇ κοιλίᾳ Συρίᾳ *P* || v. 14 βρετανία, γαλατία, καὶ βαστέρνα, γερμανία *L* || Βαστάρναις corr. H. coll. p. 52 v. 12 et titulo Plauti Silvani ap. Gruterum p. CCCCLIII, in quo est BASTARNARVM, βασταρνίαις *AP*, βαστέρναις *CR* || v. 17 ἐπαναζεύξουσι *L* || πλεῖον *L* ||

δὲ ἔσται ἐπὶ τῆς ἀνατολῆς ἡ τῶν ἀνδρῶν βλάβη παρὰ τὰς γυναῖκας, ὅτι ἄρρεν ζῴδιον ὁ κριός.

Ἥλιος ταύρῳ. εἰ σάλον συμβαίη γενέσθαι ἐπὶ μὲν τῆς ἄνω Ἀσίας Πέρσαις, καὶ Αἰθίοψι τοῖς παρ' B Ἰνδὸν ποταμὸν τῇ τε παραλίᾳ τῆς μικρᾶς Κυκλάσι τε καὶ Κύπρῳ ταῖς νήσοις ὄλεθρος ἐπικείσεται λοιμώδης, ὥστε καὶ αὐτὰ τὰ ὑποζύγια τῶν εἰρημένων χωρίων φθαρῆναι· ἐκπύρωσίς τε αὐτοῖς βαρεῖα καὶ λοιμώδης, ἐκτροπαί τε ποταμῶν ἄσχετοι συμβήσονται, καὶ ἐπὶ τοῦ θέρους λεῖψις τῶν ποταμίων ὑδάτων. ταῖς δὲ θήλεσι τῶν ζῴων, λογικῶν τε καὶ ἀλόγων, πλείων ἡ βλάβη, ὅτι θῆλυ ζῴδιον ὁ ταῦρος.

Ἥλιος διδύμοις. εἰ κίνημα γῆς ὁπουδήποτε C συμβήσεται, ἐπὶ μὲν τῆς μεγάλης Ἀσίας Ὑρκανίαν, 352 Ἀρμενίαν ἑκατέραν, Ἀμαδιανήν, ἐπὶ δὲ Λιβύης ἢ μᾶλλον Εὐρώπης (ὅτι μέρος Εὐρώπης Λιβύη) Μαρμαρικὴν καὶ Νασαμωνίτιδα καὶ ἁπλῶς τὴν παρατετα-

v. 1 ἔσται om. *A*, ἔσεσθαι *L* || ἡ τῶν] sic *L*, κατ' ceteri || βλαβὴ ἡ γυναίων *R* || παρὰ] ἐπὶ *L* || v. 2 post κριὸς *L* add. ἐστὶ || v. 3 ἡλίου ἐν τῷ ταύρῳ *A* et sic semper, ἥλιος ἐν ταύρῳ *L* et sic semper || εἰ — γενέσθαι] om. *AP* || γενέσθαι συμβήσεται *L* || v. 4 Πέρσαις addidi ex *L* || v. 5 τῇ τε παραλίᾳ τῆς μικρᾶς] om. *L* || v. 6 Κύπρῳ ταῖς] πρώταις *L* || v. 8 ἔσται add. ante αὐτοῖς *L* et om. βαρεῖα || v. 9 συμβήσονται add. *R* || v. 10 ἐν θέρει λείψεις *L* || v. 11 θηλυίαις *L* || v. 12 πλείων ἡ] om. *L* || post βλάβη *L* add. γενήσεται || post ταῦρος add. ἐστίν *L* || v. 13 εἰ — συμβήσεται] om. *AP* || ὁπουδήποτε corr. H. pro ὁποιδήποτε || v. 14 συμβῇ γενέσθαι *L* || v. 15 ἑκατέραν ante Ἀδιαβηνὴν repetit *P* || Ἀμαδιανήν scripsi coll. p. 53 v. 14 et p. 258 [A], Ἀδιαβινήν *AP*, Ἀδιαβηνήν *C*, om. *L* || v. 16 Μαρμαρικὴν om. *P* || v. 17 ἀσαμωνίτιδα *AP*, νασαμονιτίδα *L*, ἀμμωνίτιδα *R* ||

μένην ταῖς μεγάλαις Σύρτεσι ξηρὰν ἔσχατος περιστή-
σεται λιμός, ὥστ᾽ ἐξ ἀνάγκης τοῖς λογάσι τῶν χωρῶν
ἐπαναστήσεται τὸ πλῆθος ἐξωθῆσαι αὐτούς. ἐκ δὲ τῶν
D συμφορῶν οὐδεὶς οὐδενὶ ἔσται πιστός, οὐδὲ μητέρες
τέκνοις. πτώσεις τε καὶ ἀφανισμοὶ οἴκων, ἐμπρησμοί
τε βαρεῖς. τύραννος πρὸς τούτοις ὠμότατος ταράξει
τοὺς νόμους, ὡς μηδὲ αὐτῶν τῶν ἱερῶν φείσασθαι.
τὰ δὲ τῶν συμφορῶν τοῖς ἄρρεσι τῶν ζῴων, καὶ λο-
194 A γικῶν διαφερόντως, πλέον ἐπιπεσεῖται, ὅτι ἄρρεν
καὶ ἀνθρωποειδὲς τὸ ζῷον οἱ δίδυμοι.

56. Ἥλιος καρκίνῳ. εἰ σάλον ἐπιγενέσθαι
συμβαίη καθ᾽ ὅντινα οὖν τόπον, ἐπὶ μὲν τῆς ἄνω
B Ἀσίας τὰ προσεχῆ Πέρσαις ταραχθήσεται, νόσοι τε
λοιμώδεις ἐμπεσοῦνται τοῖς σώμασι τῶν ἐν αὐτοῖς
ἐνδόξων, ὡς ἐρήμους ἀρχόντων γενέσθαι τὰς πόλεις
αὐτῶν. οἱ δὲ μετ᾽ αὐτοὺς τῶν πραγμάτων ἀνθεξό-
μενοι, ψήφῳ τοῦ πλήθους καὶ αὐτῶν ἀρίστων ἀφελ-
κύσουσι τὰ τέκνα τῶν γονέων, καὶ ἀποδῶνται μα-
κράν. ἐπὶ δὲ τῆς κάτω Ἀσίας Βιθυνία Φρυγία τε
πᾶσα, καὶ Εὐρώπης μὲν ἡ Κολχική, ἣν νῦν προσα-
γορεύουσι Λαζικήν, Λιβύης δὲ ἡ μέχρι Νουμιδίας

v. 1 Σύρτισι *A*, σύρταισι *P* || v. 2 ὥστ᾽ corr. Hercher pro ὡς || v. 3 ἐπαναστῆναι *CPR* || v. 4 hinc *L* exhibet formam contractam || ante οὐδὲ H. addidit ἀλλ᾽ || μητράσι τέκνα *A* || v. 5 καὶ add. ante ἐμπρησμοί *A* || v. 6 ὠμότατα *A* || v. 8 pro τὰ H. suspicatur τὸ || v. 12 συμβαίνει *A* || v. 13 ταραχθήσεται corr. Hercher pro ταραχθήσονται || v. 17 ψόφῳ *CP* || H. post αὐτῶν addi mavolt τῶν || ἀφελκύσωσιν *CP*, ἀφελκύσαντες *R* || v. 18 καὶ om. *R* || μακρὰν transponit *R* ante ἀποδῶνται || ἀποδῶνται] sic corr. H., ἀποδόνται *P*, ἀπόδονται *C*, ἀπολοῦνται *A*, ἀποδώσουσιν *R* || v. 19 τῆς κάτω Ἀσίας] sic scripsi ex *A*, τῇ κάτω Ἀσίᾳ *PR*, τῇ κάτω *CL* || v. 20 Εὐρώπη *A* || v. 21 Λιβύη δὲ καὶ ἡ *APR* || ἡ ante μέχρι om. *L* || Νουμηδίαν *A* ||

Ἀφρικὴ τοῖς αὐτοῖς ὁμιλήσει κακοῖς. ἐκλείψεις τε C
σεληνιακαὶ ἔσονται, ὅτι σελήνης οἶκος ὁ καρκίνος. πλείων δὲ ὕβρις γυναιξὶ γενήσεται, καὶ διαφερόντως ταῖς ἑταιριζομέναις, ὅτι θῆλυ ζῴδιον ὁ καρκίνος, καὶ Ἀφροδίτης, ὅτι ταὐτὸν Ἀφροδίτη σελήνη.

Ἥλιος λέοντι. ἐὰν σάλος γένηται, οὐκ ἀγαθὸν ἐπὶ μὲν τῆς Ἀσίας Φοινίκῃ πάσῃ καὶ Ὀρχηνίᾳ, ἐπὶ δὲ τῆς Εὐρώπης Ἰταλοῖς τε καὶ Σικελοῖς καὶ Γάλλοις, ἔτι γε μὴν καὶ Λιβύῃ πάσῃ οὐκ ἀγαθόν· τὰ γὰρ D
βοσκήματα λιμῷ φθαρήσεται, ἐπομβρία δὲ ἔσται καὶ ἀκρίδων νέφη. ὁ δὲ λεγόμενος βροῦχος τοῖς καρποῖς λυμανεῖται, φθοραὶ δὲ ἔσονται ἀνδρῶν, ὡς πάντα ἐγγὺς μονωθῆναι τὰ συνοικέσια. οἱ δὲ λέοντες ἐν οἷς γίνονται χωρίοις φονικωτέρως κατ' ἀνδρῶν ὁρμή- 196 A
σουσι· τοῖς δὲ ἐν οἷς οὐ πεφύκασι φαίνεσθαι, πυρετὸς ὀξὺς ἐπιπεσεῖται. οἱ δὲ ἄρρενες πλεῖον αἰσθήσονται βλάβης, καὶ μάλιστα οἱ πρὸς ἀνίσχοντα ἥλιον, ὅτι ἄρρεν καὶ ἡλιακὸν ζῴδιον ὁ λέων.

Ἥλιος παρθένῳ. ἡλίου ἐπὶ τὴν παρθένον

v. 1 ἔκλειψις τε σεληνικὴ ἔσεσθαι *L* ‖ τε] δὲ *A* ‖ v. 2 σελήνη οἶκος καρκίνου *A* ‖ post καρκίνος *L* add. ἔστιν ‖ v. 3 πλεῖον δὲ αἱ ὕβρεις ταῖς γυναιξὶ γενήσονται *L* ‖ v. 5 Ἀφροδίτης] Ἄρης *A* ‖ ὅτι] καὶ *L* ‖ σελήνῃ] καὶ σελήνη *L*, σελήνης *R* ‖ v. 6 ἐὰν — ἀγαθὸν] om. *AP* ‖ post σάλος *L* add. γῆς ‖ v. 7 φοινίκη πᾶσα καὶ ὀρχηνία *LP* ‖ v. 8 τε om. *L* ‖ καὶ Γάλλοις] γάλοις *LP* ‖ v. 9 λιβύη πᾶσα *L* ‖ γὰρ] δὲ *L* ‖ v. 10 λοιμῷ *P* ‖ φθαρήσονται *AP* ‖ v. 11 ὁ δέ γε βροῦχος *AP* ‖ τοὺς καρποὺς *L* ‖ v. 12 πάντων ἐγγυμνωθῆναι *PRS* ‖ v. 13 τοῖς add. ante ἐν *P* ‖ v. 14 φονικώτεροι *L* ‖ v. 15 φαίνεσθαι om. *L* ‖ πυρὸς *C* ‖ v. 16 πλείονος αἴσθονται *L* ‖ v. 17 μάλιστα] μᾶλλον *L* ‖ προσανίσχοντες ἡλίῳ *A* ‖ v. 18 post λέων *L* add. ἐστίν ‖ v. 19 ἡλίου — ἰόντος] om. *ALP* ‖

ἰόντος εἰ cάλος γένηται, Ἑλλὰς Ἀχαΐα Κρήτη Βαβυ-
B λὼν Μεcοποταμία Ἀccυρία τε καὶ Κυκλάδες νῆcοι οὐ
μετρίαις περιπεcοῦνται cυμφοραῖc· χάcματα γὰρ κατ'
αὐτὰc γενήcεται, οἵ τε γονεῖc θρηνήcονται τοὺc ἑαυ-
τῶν παῖδαc· οὐχ ἥκιcτα δὲ χειμῶνεc ξηροὶ καὶ παρ-
θένων ἀνδραποδιcμοί. ἡ δὲ ἐλαία πρὸc τοῖc ἄλλοιc
τοῦ φθινοπώρου καρποῖc ἐπιτεύξεται. τὰ δὲ κακὰ 354
ταῖc θηλείαιc μᾶλλον τῶν ζῴων ἢ τοῖc ἄρρεcι cυμ-
βήcεται, ὅτι θῆλυ ζῴδιον ἡ παρθένοc.
C 57. Ἥλιοc Ζυγῷ. εἰ κατὰ τόδε καιροῦ cειcμὸc
γένηται, ἐπὶ μὲν τῆc ἄνω Ἀcίαc Βακτρία Καcπία
Cηρική, ἐπὶ δὲ Λιβύηc Τρωγλοδυτικὴ Θῆβαί τε Αἰγύ-
πτιαι καὶ πρὸc αὐταῖc Ὄαcιc οὐ μετρίωc cτυγνάcου-
cιν. οἱ γὰρ κρατοῦντεc καταπράξονται τῶν εἰρημέ-
νων χωρίων, ὡc ἐξ ἀπογνώcεωc τὸ πλῆθοc ἐπανα-
cτῆναι αὐτοῖc. τὰ δὲ ἱερὰ παραβαθήcεται οὕτω βε-
βήλωc ὡc μηδένα τυχεῖν τῶν εὐχῶν. καὶ οἱ μὲν αὐ-
τόχθονεc πόρρω που τῶν ἐνεγκουcῶν ἐλαθήcονται,
D cτρατεύμαcι δὲ βαρβαρικοῖc οἱ εἰρημένοι ταραχθήcον-
ται τόποι. λιμὸc ἄρα· πῶc γὰρ οὐχί; καὶ ἐλαττου-
μένηc πανταχοῦ τῆc ἀνδρικῆc φύcεωc, ὅτι ἄρρεν
ζῴδιον ὁ Ζυγόc.

v. 1 εἰ — γένηται] om. *A* || βαβυλωνία *L* || v. 2 τε καὶ] om. *ALP* || v. 3 μετρίοιc *A*, μετρίωc *L* || πεcεῖται *L* || v. 4 γενήcονται *L* || οἵ τε] καὶ οἱ *L* || θρηνήcουcι *ALPR* || v. 9 post ζῴδιον *L* add. ἐcτὶν || v. 10 εἰ — γένηται (v. 11)] om. *AP* || v. 11 βακτριανὴ *L* || Καcπία] fortasse Καcία cf. p. 96[C] || v. 12 Cιρική *A*, cυρικὴ *L*, cερικὴ *P*, Cυρία *R* || v. 13 αὐτὰc *L* || v. 14 καταπράξωνται *P* || v. 15 ὡc ἐξ] ὥcτε *L* || ἐπαναcτήcεται *A* || v. 16 παραβαθήcονται *A*, παραβλαβήcονται *L* || v. 19 γράμμαcί (corr. ex κάμμαcί) τε βαcιλικοῖc *L* || v. 20 λοιμὸc *AP* || οὖν ante ἄρα add. *CLR* || ἐλαττωθήcεται πανταχοῦ ἡ ἀνδρικὴ φύcιc *L* || v. 22 post ζῴδιον *L* add. ἐcτὶν ||

Ἥλιος σκορπίῳ. ἐπὶ τὸν σκορπίον ἡλίου δια-
βαίνοντος εἰ σάλον γενέσθαι συμβαίη, ἐπὶ μὲν τῆς 198 A
ἄνω Ἀσίας Συρία μέση ἤτοι Κομμαγηνὴ καὶ Κασπία,
ἐπὶ δὲ Εὐρώπης Ἰταλία καὶ Τυρσηνία καὶ ἕως δύνον-
τος ἡλίου Μαυρουσία τε καὶ Γαιτουλία ἐμπρησμοῖς
ἀσχέτοις ἐκτεφρωθήσονται, οὐδ᾽ αὐτῶν τῶν ἱερῶν
περισωζομένων τοῖς τόποις. πόλεμοί τε ἔσονται ἀτυ-
χεῖς τῇ νεολαίᾳ, ἐπικερδεῖς δὲ τοῖς στρατηγοῖς· βάρ-
βαροι δὲ καθέξουσι Ῥωμαίοις ἀνήκοντα χωρία. πλείων B
δὲ ἡ κατὰ γυναικῶν τοῖς πράγμασι ζημία, ὅτι θῆλυ
ζῴδιον ὁ σκορπίος.

355 Ἥλιος τοξότῃ. ὅταν ὁ ἥλιος ἐπὶ τὸν τοξό-
την ἔλθῃ, εἰ σεισμὸν συμβαίη γενέσθαι, ἐπὶ μὲν τῆς
μεγάλης Ἀσίας τῇ εὐδαίμονι Ἀραβίᾳ, ἐπὶ δὲ τῆς Εὐ-
ρώπης Τυρσηνίᾳ Κελτικῇ καὶ Ἱσπανίᾳ βλάβαι οὐχ αἱ
τυχοῦσαι συμβήσονται. φθαρήσεται γὰρ λιμῷ τὰ βο-
σκήματα, ὁ δὲ ὠκεανὸς παρὰ τὸ πεφυκὸς ἐκχυθήσε-
ται ὡς καὶ αὐτὴν Κάλπην ἐπικλυσθῆναι, πόλεις τε C
κατομβρίᾳ κινδυνεύσουσιν. ἡ δὲ ἀνδρεία φύσις ἐξ ἐν-

v. 1 ἐπὶ — συμβαίη (v. 2)] om. *AP*, εἰ σάλος γῆς γενήσεται *L* || v. 3 ἄνω om. *L* || ἤτοι] ἡ *A* || κώμης ἀγίνη *C* || v. 4 τυρνησία *R* || v. 5 γετουλία *AL* || v. 6 ἐκτεφρωθήσεται *P* || v. 9 καθέξωσιν *C* || post ἀνήκοντα χωρία transponunt Ῥωμαίοις *AP* || προσανήκοντα *L* || πλεῖον δὲ κατὰ τῶν γυναικῶν ἐν τοῖς πράγμασιν ἡ ζημία ἔσεσθαι *L* || v. 11 ante ζῴδιον *P* add. τὸ || post ζῴδιον *L* add. ἐστὶν || v. 12—13 ὅταν — γενέσθαι] om. *AP* || ὅταν — ἔλθῃ] om. *L* || εἰ — γενέσθαι] om. *C*, ἐὰν σεισμὸς γεννήσεται *L* || v. 14 μεγάλης] μέσης *L* || ἡ εὐδαίμων ἀραβία *LP* || v. 15 τυρσηνία, κελτικὴ καὶ ἱσπανία *LP* || βλάβαις ἐν αὐταῖς οὐ ταῖς τυχούσαις περιπεσεῖται *L* || v. 16 φθαρήσονται *L* || v. 18 Κάσπιν *R*, Κάλπιν *AP* || v. 19 ἥ τε *ALP* || ἀνδρῶα *AP* ||

δείας τῶν ἀναγκαίων πανταχοῦ φθαρήσεται, ὅτι ἄρρεν ζῴδιον ὁ τοξότης.

58. Ἥλιος αἰγόκερῳ. ὅταν δὲ ἥλιος ἀποστρέφων ἀπὸ τοῦ νοτίου καμπτῆρος ἐπὶ τὸν αἰγόκερων ἔλθῃ, εἰ σεισμὸν συμβαίη γενέσθαι, ἐπὶ μὲν τῆς ἄνω Ἀσίας πᾶσα ἡ Ἰνδικὴ Ἀριανή τε καὶ Γεδρωσία,
D ἐπὶ δὲ τῆς κάτω Φρυγία τε πᾶσα καὶ Ἑλλήσποντος, ἐπὶ δὲ τῆς Εὐρώπης Μακεδονία καὶ Θρᾴκη πρὸς τῷ Ἰλλυρικῷ ἕως Ἴστρου ποταμοῦ οὐ μετρίως ταραχθήσονται πρὸς τῶν πλησιοχώρων, καὶ οἱ χείμαρροι τὰ λήϊα καταχώσουσι, προσεπιλοιμωττόντων τῶν βο-
200 A σκημάτων. ἐμφύλιοί τε πόλεμοι ἔσονται, ὀνείρων δὲ καὶ μαντευμάτων ψευδὴς ὄχλος· ἐνιαχοῦ δὲ καὶ πόλεις ἀθρόως καταποντισθήσονται.

Ἥλιος ὑδροχόῳ. ἡλίου ἐπὶ ὑδροχόον ἰόντος εἰ γένηται σεισμός, ἐπὶ μὲν τῆς ἄνω Ἀσίας Ὀξιανὴ Σογδιανὴ Ἀραβία μικρὰ καὶ Ἀζανία, ἐπὶ δὲ τῆς Λιβύης Αἰθιοπία μικρά, τῆς δὲ Εὐρώπης ἡ Θρᾴκη ἕως Ἰλλυ-

v. 2 τὸ add. *C* ante ζῴδιον || post τοξότης add. *L* ἐστίν || v. 3 ὅταν — γενέσθαι (v. 5)] om. *AP* || ὅτε *L* || ὁ ἥλιος *L* || v. 5 σεισμὸς γέννηται *L* || v. 6 ἡ Ἰνδικὴ] ἰδικὴ *L* || ἀδριανή *AP*, ἀνδριανή *L* || καὶ post τε om. *LP* || γεδρουσία *APR*, γερουσία *L* || v. 7 τε ante πᾶσα om. *AP* || v. 8 τῆς om. *L* || Θράκη καὶ Μακεδονία *L* || καὶ ante Θρᾴκη om. *AP*ᵢ || v. 9 ταραχθήσονται post πλησιοχώρων transponit *L* || v. 10 πρὸς] παρὰ *L* || v. 11 προσεπιλιμωττόντων *AP* || v. 13 ὁ add. *C* ante ὄχλος || καὶ ante πόλεις om. *AP* || v. 15 ἡλίου — ἰόντος] om. *ALP* || v. 16 εἰ — σεισμὸς] om. *AP*, εἰ σεισμὸς γένηται *L* || ὀξιανὴ] sic corr. H. coll. p. 258 C, ὀξινι *C*, ὀξίνη *ALPR* || v. 17 Σογδιανὴ] sic corr. H. coll. p. 258 C, σουβδιανη *C*, σουγδιανὴ *APR*, om. *L* || καὶ Ἀζανία] om. *L* || ἀζονία *AP* || ἐπὶ — μικρὰ (v. 18)] addidi ex *P* et *L* (qui tamen habet αἰθιοπίαι μικραί) ||

ρικοῦ cφόδρα ταραχθήcονται· πόλεμοι γὰρ βαρεῖc
356 ἐπιπεcοῦνται ταῖc χώραιc. τῇ δὲ Μακεδόνων χώρᾳ B
τὰ χείριcτα cυμβήcεται, ὡc ἐγγὺc ἀφανιcμοῦ γενέcθαι.

Ἥλιοc ἰχθύcιν. ὅταν δὲ ἰχθύcι γένηται ἥλιοc, ἐὰν cυμβῇ cάλοc, ἐπὶ μὲν τῆc κάτω Ἀcίαc ἡ καθ᾽ ἡμᾶc Λυδία Κιλικία τε καὶ Παμφυλία, ἐπὶ δὲ ΛιβύηcΝαcαμωνῖτιc καὶ Γαραμαντικὴ ὑπὸ πολεμίων ξένων τε καὶ ἐμφυλίων δῃωθήcονται. αἱ δὲ πρὸc τῷ Πόντῳ κείμεναι πόλειc καὶ τὰ ἐπίνεια πειρατικαῖc ἐφόδοιc ταραχθήcονται, οἱ δὲ δῆμοι τῶν εἰρημένων χωρῶν μηδε- C
μιᾶc ὑποκειμένηc αἰτίαc κατ᾽ ἀλλήλων ἐξενεχθήcονται· κατομβρίαι τε ἔcονται οὐχ ἥττουc κατακλυcμοῦ, καὶ εὐχαὶ ἄπρακτοι καὶ ἔνδεια τροφίμων καρπῶν. ἐκ δὲ τῆc περὶ τὴν γῆν ὑγρότητοc ὁ cπόροc ἄχρηcτοc, ἡ δὲ θάλαccα ταραχώδηc καὶ ἐγγὺc ἄπλουc. ἐκ δὲ παραδόξου μετ᾽ οὐ πολὺ τὰ πράγματα ἐπὶ τὸ βέλτιον ἔcται, καὶ cυντόμωc εἰπεῖν ἀναλόγωc τοῖc κακοῖc εὐφροcύνη.

v. 3 χείρονα *L* || γενέcθαι] ἔcται *APR* || v. 4 ὅταν — ἥλιοc] om. *ALP* || v. 5 ἐὰν cάλοc γῆc γένηται *L* || ἐὰν] εἰ *CPR* || v. 6 post ἐπὶ addidi δὲ cum *ALP* || Ναcαμωνίτιc *A*, ναcαμωνίτηc *R*, ναcαμονίτιc *P*, ναcαμανίτηc *L* || v. 7 τε ante ξένων transponunt *AP* || ξένων om. *L* || v. 8 διωχθείcονται *L* || τῷ om. *L* || Πόντῳ] πόντον γαλατία *L* || v. 9 ante ἐπίνεια cum *L* addidi τὰ || v. 11 ἐπικειμένηc *R* || v. 13 καὶ ante ἔνδεια om. *AP* || τροφῶν *L* || ante καρπῶν *A* add. τε καί, *L* καί, *P* τε || v. 14 ὑγρότηc *C* || v. 15 ἄπλουc] sic etiam *R*, sed prim. man. superscr. ἄπλωτοc || v. 16 μεθ᾽ οὗ *P* || βέλτερον *A* ||

# 202 ΕΦΗΜΕΡΟΣ ΤΟΥ ΠΑΝΤΟΣ ΕΝΙΑΥΤΟΥ 357

## ΗΓΟΥΝ CΗΜΕΙΩCΙC ΕΠΙΤΟΛΩΝ ΤΕ ΚΑΙ ΔΥCΜΩΝ ΤΩΝ ΕΝ ΟΥΡΑΝΩ ΦΑΙΝΟΜΕΝΩΝ ΕΚ ΤΩΝ ΚΛΑΥΔΙΟΥ ΤΟΥ ΘΟΥCΚΟΥ ΚΑΘ' ΕΡΜΗΝΕΙΑΝ ΠΡΟC ΛΕΞΙΝ

A

### ΙΑΝΟΥΑΡΙΟC

59. α'. Καλένδαις μακραὶ ἡμέραι ἄρχονται· ὁ ἥλιος ὑψοῦται, ὁ δ' ἀετὸς cὺν τῷ cτεφάνῳ δύεται καὶ ποιεῖ χειμῶνας.

β'. τῇ πρὸ δ' νωνῶν Ἰανουαρίων ὁ μὲν ἥλιος

Clodi Tusci calendarium extat etiam in *F* (fol. 124 rect.), *R* (fol. 74 rect.), *S* (fol. 17 vers.), latina praeterea extat interpretatio per Nicolaum Leonicenum Thomaeum facta, praemissa Ovidi fastorum editionibus, primum (ut videtur cf. Merkel proleg. Ovid. fast. p. LXVII) in editione Aldina 1516, postea repetita in Petavi Vranologio p. 92 sq. (Lutet. Paris. 1630) || v. 1—5] περὶ ἐπιτελλόντων καὶ δυόντων ἀcτέρων καὶ ἐφημερίδων καλουμένων καὶ ἐν ταῖc ἀνατολαῖc καὶ δύcεcιν αὐτῶν ποιούντων ἀνέμους, ταραχὰc καὶ βίαc θαλάccηc, ὄμβρουc τε καὶ εὐδίαc καὶ ὅcα ἄλλα τοιαῦτα· γίνονται δὲ ταῦτα ἐκ τῶν φαινομένων ἀcτέρων *F* || v. 6 Ἰανουάριοc] μηνὶ Ἰαννουαρίῳ *F* et sic semper; semper etiam pro Καλενδ. formis habet καλανδ. || v. 7 Lyd. de mens. IIII 8 ἰcτέον κατὰ τὴν ἡμέραν τῶν καλανδῶν τὸν ἥλιον ἐφ' ὕψουc γίνεcθαι, τὸν δὲ cτέφανον δύcεθαι ὄρθρου. || μακραὶ — ἄρχονται] addidi ex *F*, *longiusculi fiunt dies* add. Leonicus || v. 9 καὶ — χειμῶνας] addidi ex *F*, *tempestatemque efficiunt* add. Leon. || v. 10 Ovidio fast. I 311 cancri brachia occidunt vid. diar. antiqu. 1846 p. 250 ||

τηδᾷ, τὸ δὲ μέcον τοῦ καρκίνου δύεται, καὶ οἱ ἄνε-
ιοι ἐναλλάττονται.

γ'. τῇ πρὸ γ' νωνῶν τὸ λοιπὸν τοῦ καρκίνου
ύεται, καὶ τροπὴ τοῦ ἀέρος ποικίλη.

δ'. τῇ πρὸ α' τὸ μέcον τοῦ χειμῶνος καὶ νότος B
τολύς, εἶτα καὶ βορραῖ cυνεχεῖς. καὶ ὁ δελφὶν ἀνί-
χει ἅμα τῷ κυνὶ περὶ τὸν ὄρθρον.

ε'. νώναις Ἰανουαρίαις ἡ λύρα ἀνίσχει, καὶ ὁ 204 A
ιὲν ἀετὸς δύεται, ὁ δὲ δελφὶν ὅλος ἐπιτέλλει. καὶ
ἰκότως ἀνεμομαχία.

ϛ'. τῇ πρὸ η' εἰδῶν Ἰανουαρίων ἐν μὲν ἑσπέρᾳ
ὁ ἀετὸς δύεται, νότος δὲ πνεῖ.

ζ'. τῇ πρὸ ζ' εἰδῶν ἀπαρκτίας καὶ βορέας κατ'
ἀλλήλων μάχονται.

η'. τῇ πρὸ ϛ' εἰδῶν οἶκος Ἄρεως· νότος ἅμα
ιαὶ ζέφυρος· ὁ δὲ αἰγόκερως ἄρχεται ἀνατέλλειν.
βροχή τε ἅμα καὶ ἐν ἑσπέρᾳ νότος πυκνός. B

v. 1 ὁ δὲ μέcος *F* || v. 2 ἐναλλάττονται] ἐλαττοῦνται *F*, *ponunt* Leon. || v. 3 et 4 Columella XI 2, 97. *III non. Ianuar. cancer occidit; tempestas varia.* || v. 5—7 Columella l. s. *pridie non. Ian. media hiems, auster multus, interdum pluvia.* || v. 6 βορραῖ cυνεχεῖς] βορρεῖς cυνεχεῖς *F* || v. 6 Plin. XVIII 234. *pridie nonas Ianuarias Caesari delphinus matutino exoritur.* || καὶ ὁ] ὁ δὲ *F* || δελφὶν corr. Hercher pro δελφίς, qua forma ceteroquin non usus sit Lydus || v. 7 ἅμα] cὺν *F* || τὸν ὄρθρον] τῶν βορρῶν *F* || v. 8—10 Columella l. s. *non. Ian. fidis exoritur mane, tempestas varia.* Caesari (Plin. l. s.) et Ovidio I 315 fidicula mane exoritur. || v. 9 δελφίς *F* || v. 10 εἰκότως] γίγνονται *F* || v. 13 ἄπαρκτος *C* || κατ' ἀλλήλων μάχονται] sic scripsi ex *F*, *vehementer flantes concurrunt* Leon., κατ' ἀλλήλων *R*, κατάλληλος *CS* || v. 15 Columella l. s. *VI id. Ian. auster, interdum favonius.* || v. 16 Gemin. ἐν τῇ ιε (τοῦ αἰγοκέρωτος) Καλλίππῳ αἰγόκερως ἄρχεται ἀνατέλλειν· νότος ||

θ'. τῇ πρὸ ε' εἰδῶν νότος φυςᾷ cύνομβρος.

ι'. τῇ πρὸ δ' εἰδῶν ὁμοίωc· ὁ δὲ νότος βιαιότερος.

ια'. τῇ πρὸ γ' εἰδῶν ἀπαρκτίας μετὰ βροχῆς καὶ χιόνος.

ιβ'. τῇ πρὸ α' εἰδῶν νότος πνεῖ.

ιγ'. εἰδοῖς Ἰανουαρίαις ἄςτρον κρυπτόν. καὶ
C πρῶτον μὲν λόγος τὸν ὀϊςτὸν δύεςθαι, ἐν δὲ τῇ νυκτὶ βρέχειν.

ιδ', τῇ πρὸ ιθ' καλενδῶν Φεβρουαρίων ἄςτρον κρυπτόν, καὶ ποικίλη τροπὴ βορέου ἅμα καὶ ἀπαρκτίου. καὶ ὁ μὲν λέων ἄρχεται δύεςθαι, ἔςθ' ὅτε δὲ βρέχει.

ιε'. τῇ πρὸ ιη' καλενδῶν ἀπαρκτίας καὶ βορρᾶς ςφοδρός.

D ις'. τῇ πρὸ ιζ' καλενδῶν ὁ μὲν ἥλιος ὑδροχόῳ, εὖρος δὲ μετὰ βροχῆς.

ἀνατέλλειν addidi, Leon. add. *emergere* || v. 17 βροχή τε] om. *F* || νότος πυκνός] *caligo* Leon. ||

v. 1 Columella l. s. *V id. Ian. auster, interdum imber.* Gemin. ἐν τῇ ις (τοῦ αἰγοκέρωτος) Εὐκτήμονι νότος χειμέριος κατὰ θάλαςςαν. || φυςᾷ cύνομβρος] sic scripsi ex *F*, *flat cum pluvia* Leon., καὶ ὄμβρος ceteri. || v. 2 ὁμοίως — βιαιότερος] νότος cύνομβρος πλεῖος *F*, *pluvius flat auster violentior* Leon. || v. 4 βροχῆς καὶ χιόνος] πολλῶν βροχῶν καὶ χειμῶνος φυςᾷ *F*, *multo imbre et aspera tempestate flat.* Leon. || v. 7 καὶ — δύεςθαι (v. 8)] *prima mali pars occidit* Leon. || v. 8 λόγος om. *F* || ὀϊςτὸν corr. H. pro ἱςτὸν || v. 12 ἔςθ' — βρέχει (v. 13)] καὶ βρέχειν *F*, *pluviae fiunt* Leon. || v. 14 Lyd. de mens. IIII 13. ἀνεμομαχίαν ὁ Βάρρων λέγει γίνεςθαι. || v. 15 ςφοδρός] corr. pro ςφοδρῶς H., *vehementes flant* Leon. || v. 16 Colum. XI 2, 4. *XVII cal. Febr. sol in aquarium transit; leo mane incipit occidere; Africus, interdum auster cum pluvia.* ||

ιζ′. τῇ πρὸ ις′ καλενδῶν ἡ μὲν λύρα ἄρχεται δύεςθαι, περὶ δὲ τὸν ὄρθρον ἀνεμομαχία.

ιη′. τῇ πρὸ ιε′ καλενδῶν ἕωθεν μὲν δύεται ὁ 206 A
λέων. βορέου ἅμα καὶ νότου καὶ ἀπαρκτίου διαφορά, καὶ βροχή. ὁ δὲ δελφὶν μετὰ λέοντα δύεται.

ιθ′. τῇ πρὸ ιδ′ καλενδῶν τροπή, καὶ τὸ μεςαίτατον τοῦ χειμῶνος.

κ′. τῇ πρὸ ιγ′ καλενδῶν βορρᾶς καὶ νότος. καὶ τὸ μέςον [μὲν τοῦ καρκίνου δύεται, ὁ δὲ ὑδροχόος ἄρχεται ἀνίςχειν.

359 κα′. τῇ πρὸ ιβ′ καλενδῶν ὁ ὑδροχόος παντελὴς B
ἀνίςχει, πνεῖ δὲ ὁ λίψ, καὶ ὕει.

κβ′. τῇ πρὸ ια′ καλενδῶν ἡ λύρα δύεται cὺν τῷ καρκίνῳ, καὶ πρὸς ἑςπέραν ὕει.

κγ′. τῇ πρὸ ι′ καλενδῶν βορρᾶς πνεύςει μετὰ βροχῆς.

κδ′. τῇ πρὸ θ′ καλενδῶν χειμὼν καὶ βορέου ἐπίταςις ἅμα καὶ εὔρου.

v. 1 μὲν om. *F* || v. 2 δὲ om. *F* || v. 5 καὶ βροχή] corr. Hercher pro καὶ βροχῆς, μετὰ βροχῆς coni. H. || v. 5 Lyd. de mens. IIII 14. ὁ Δημόκριτος λέγει δύεςθαι τὸν δελφῖνα. || λέοντα] τοῦ λέοντος *F* || v. 6 μεςότατον *F* || v. 8—10 Lyd. de mens. IIII 14. ὁ μὲν Εὐκτήμων τὸν καρκῖνον δύεςθαι, ὁ δὲ Κάλλιππος τὸν ὑδροχόον ἀνίςχειν λέγει . . βήςςαις καὶ χαράδραις τῶν ὀρῶν. || Gemin. ἐν τῇ κζ (τοῦ αἰγοκέρωτος) Καλλίππῳ καρκίνος λήγει δύνων. || v. 11 Colum. l. s. *XII* (sic. cod. Sang. pro *XV*) *cal. Febr. aquarius incipit oriri, ventus Africus* . . . Lyd. de mens. IIII 14. Εὔδοξος τὸν ὑδροχόον ἀνίςχειν λέγει. || παντελῶς *F* || v. 12 δὲ om. *F* || v. 13 et 14 Colum. l. s. *XI cal. Febr. fidicula vespere occidit, dies pluvius.* lyrae occasus vespertinus apud Ovid. I 653. || v. 14 cf. Lyd. de mens. IIII 14. ὁ Εὔδοξος ἀνίςχειν αὐτὸν (τὸν ὑδροχόον) καὶ βροχὰς ςημαίνειν. || v. 17 Gemin. ἐν τῇ β̅ (τοῦ ὑδροχόου) Δημοκρίτῳ . .

C κε΄. τῇ πρὸ η΄ καλενδῶν ὡcαύτωc.

κς΄. τῇ πρὸ ζ΄ καλενδῶν χειμάζει, πνεῖ δὲ ὁ βορρᾶc cὺν τῷ εὔρῳ, καὶ ἄρχεται δύεcθαι ἡ λύρα.

κζ΄. τῇ πρὸ ς΄ καλενδῶν ἄcτρον λαμπρὸν ἐν τῷ cτήθει τοῦ λέοντοc ἄρχεται δύεcθαι, ἡ δὲ λύρα ἐν ἑcπέρᾳ. καὶ βορρᾶc πνεῖ, ἔcτι δ' ὅτε καὶ ὕει.

D κη΄. τῇ πρὸ ε΄ καλενδῶν ἀνεμομαχία μετὰ χιόνοc.

κθ΄. τῇ πρὸ δ΄ καλενδῶν ὁ δελφὶν δύεcθαι μελετᾷ.

208 A λ΄. τῇ πρὸ γ΄ καλενδῶν ἡ λύρα περὶ τὴν πρώτην φυλακὴν τῆc νυκτὸc ἄρχεται δύεcθαι ἐκ μέρουc. καὶ cυννέφεια ἔcται, καὶ cφοδρὸc βορρᾶc μετὰ βροχῆc.

λα΄. τῇ πρὸ α΄ καλενδῶν Φεβρουαρίων ὑετὸc χιόνι μεμιγμένοc.

## ΦΕΒΡΟΥΑΡΙΟC

B 60. α΄. καλένδαιc Φεβρουαρίαιc κρυπτὸν ἄcτρον, νότοc καὶ εὖροc· καὶ ἡ λύρα ἄρχεται δύεcθαι.

ἄλοχοc (?) χειμών. Colum. XI 2, 5. *VIIII (VIII* I. B. R.) *cal. Febr. . . interdum etiam tempestas.* || εὔρου] sic *FR*, εὖροc *CS* ||

v. 1 ὡcαύτωc] *tempestas turbidior; eidem flant venti* Leon. || v. 2 et 3 post lacunam χειμάζει βορρᾶc et spatium c. 30 litter. in *F* || v. 4—6 Colum. l. s. *VI cal. Febr. leonis quae est in pectore clara stella occidit.* || v. 6 καὶ βορρᾶc] om. *C* || ὅτι *C* || v. 7 ἀνεμομαχίαν *C* || v. 10 Colum. l. s. *III cal. Febr. . . fidicula occidit.* || v. 12 cυννέφεια corr. Hercher pro cυννεφία hic et semper infra || καὶ cφοδρὸc] cφοδρῶc τε *F* || v. 16 Colum. 14. *cal. Febr. fidis incipit occidere, ventus eurinus et interdum auster cum grandine est.* || v. 17 post ἄcτρον *F* add. φαίνεται, Leon. add. *apparet* || v. 18 post νότοc *F* add. τε || post εὖροc *F* add. πνεῖ, Leon. add. *flant* ||

β'. τῇ πρὸ δ' νωνῶν Φεβρουαρίων θυελλώδης ὁ ἀήρ, καὶ παραπνεύσει ὁ Ζέφυρος.

γ'. τῇ πρὸ γ' νωνῶν τὸ μέσον τοῦ λέοντος σὺν τῇ λύρᾳ δύεται. ἀπαρκτίας δὲ ἅμα καὶ βορρᾶς.

360 δ'. τῇ πρὸ α' νωνῶν δύεται ὁ δελφίν· καὶ ἐν ἑσπέρᾳ νότος ἐπιτείνει μετὰ βροχῆς.

ε'. νώναις Φεβρουαρίαις τοῦ ὑδροχόου τὰ μέσα C
ἀνίσχει· ταραχώδης δὲ ὁ ἀὴρ ἐκ τοῦ Ζεφύρου.

ϛ'. τῇ πρὸ η' εἰδῶν Φεβρουαρίων δύεται ἡ λύρα, καὶ ὁ Ζέφυρος ἀπὸ δυσμῶν πνεῖ.

ζ'. τῇ πρὸ ζ' εἰδῶν ἀρχὴ ἔαρος, καθ' ὃ Ζέφυρος πνεῖ.

η'. τῇ πρὸ ϛ' εἰδῶν Ζέφυρος σὺν τῷ βορρᾷ πνεῖ.

θ'. τῇ πρὸ ε' εἰδῶν ἄστρον κρυπτόν· καὶ ἀνί- D
σχει ὁ ὑδροχόος.

ι'. τῇ πρὸ δ' εἰδῶν ἀπαρκτίας μετὰ Ζεφύρου· ἔστι δ' ὅτε καὶ βροχαί.

v. 3 et 4 Colum. l. s. *III non. Febr. fidis tota et leo medius occidit; corus aut septentrio, nonnunquam favonius.* || v. 4 λύρᾳ] λιβύῃ *C* || v. 5 delphini occasus vespertinus ap. Ovid. II 79. || ὁ addidi ex *F* || v. 6 ἐπιτείνει] ἐπιπνεῖ *R* || βροχῆς] βροντῆς *C* || v. 7 et 8 Colum. l. s. *non. Febr. mediae partes aquarii oriuntur; ventosa tempestas.* Ovid. II 145: *iam puer Idaeus media tenus eminet alvo.* || v. 7 τοῦ — ἀνίσχει (v. 8)] *zona Orionis emergit* Leon. || v. 8 Gemin. ἐν τῇ ιδ̄ (τοῦ ὑδροχόου) Εὐδόξῳ . . ἐνίοτε καὶ Ζέφυρος πνεῖ. || v. 9 et 10 Ptolem. ὥρᾳ ιε̄ ϛ'' ὁ λαμπρὸς τῆς λύρας ἑσπέριος δύνει. || v. 11 Gemin. ἐν τῇ ιϛ̄ (τοῦ ὑδροχόου) Δημοκρίτῳ Ζέφυρος πνεῖν ἄρχεται καὶ παραμένει ἡμέρας γ̄ καὶ μ̄ ἀπὸ τροπῶν. Colum. 15. *VII id. Febr. favonii spirare incipiunt.* || καθ' ὃ] καὶ *F* || v. 12 πνεῖ] addidi ex *F*, *spirat* add. Leon. || v. 13 Gemin. ἐν τῇ ιζ̄ (του ὑδροχόου) . . Καλλίππῳ . . Ζέφυρος πνεῖ. Colum. l. s. *VI id. Febr. ventosa tempestas.* || πνεῖ] addidi ex *F*, *spirant* add. Leon. ||

210 A ια΄. τῇ πρὸ γ΄ εἰδῶν ἀπηλιώτης πνεῖ, καὶ ἀνί-
σχει ὁ ἀρκτοῦρός.

ιβ΄. τῇ πρὸ α΄ εἰδῶν Φεβρουαρίων ἀνεμομαχία.

ιγ΄. εἰδοῖς Φεβρουαρίαις ὁ τοξότης ἐν ἑσπέρᾳ δύεται, καὶ σφοδρὸς χειμών.

ιδ΄. τῇ πρὸ ις΄ καλενδῶν Μαρτίων ὁ κρατὴρ ἀνί-
B σχει ἐν ἑσπέρᾳ, καὶ ἐναλλαγέντων τῶν ἀνέμων ὁ
νότος ἐπικρατεῖ.

ιε΄. τῇ πρὸ ιε΄ καλενδῶν ὁ ἥλιος ἰχθύσιν, καὶ ὁ ἀὴρ χειμάζει.

ις΄. τῇ πρὸ ιδ΄ καλενδῶν ἀπαρκτίας πνεύσει μετὰ τοῦ νότου· νέος δὲ ἥλιος.

ιζ΄. τῇ πρὸ ιγ΄ καλενδῶν δύεται ἡ παρθένος· ῥεύσει δὲ νότος μετὰ ζεφύρου καὶ βορρᾶς.

ιη΄. τῇ πρὸ ιβ΄ καλενδῶν δύεται ὁ λεγόμενος
C ὀϊστός. ἐν ἑσπέρᾳ δὲ ζέφυρος πνεῖ, καὶ ἄρχεται ἡ
παρθένος δύεσθαι.

ιθ΄. τῇ πρὸ ια΄ καλενδῶν ἀπαρκτίας ῥεύσει μετὰ 361
νότου· τὸν δὲ ὀϊστόν φασι δύεσθαι.

v. 1 arcturi ortus vespertinus apud Ovid. II 153 || v. 4 et 5 Colum. 20. *id. Febr. sagittarius vespere occidit; vehementer hiemat.* || v. 6—8 Colum. l. s. *XVI cal. Mart. vespere crater oritur; venti mutatio.* apud Ovid. II 243 crateris ortus vespertinus. || v. 9 et 10 Colum. l. s. *XV cal. Mart. sol in pisces transitum facit; nonnunquam ventosa tempestas.* || v. 10 χειμάζει] sic scripsi pro χειμών; *hiemat* Leon. || v. 13 δύεται ἡ παρθένος] *virgo occidit iuxta geminos* Leon. || Colum. 21. *XIII et XII cal. Mart. favonius vel auster cum grandine et nimbis.* || v. 15 ὁ λεγόμενος ἱστὸς ἐν ἑσπέρᾳ· ζέφυρος πνεῖ *F*, *malus vesperi occidit; favonius spirat* Leon. || v. 18 ῥεύσει] πνεύσει *F*, *flant* Leon. || v. 19 ἱστὸν *F*, *malus* Leon. ||

κ'. τῇ πρὸ ι' καλενδῶν βορρᾶς μετὰ βροχῆς. καὶ λέων δύεται· ἄρχονται δὲ οἱ βορραῖ οἱ λεγόμενοι :λιδόνιοι, οἳ πεφύκασιν ἐπὶ τριάκοντα ἡμέρας πνεῖν, ιὶ φαίνεται χελιδών.

κα'. τῇ πρὸ θ' καλενδῶν ὁ ἀρκτοῦρος τῇ πρώτῃ D υλακῇ τῆς νυκτὸς ἄρχεται δύεσθαι, καὶ πνεῖ Ζέφυ- )ς. ἡ δὲ νὺξ συννεφής.

κβ'. τῇ πρὸ η' καλενδῶν τὰ λεγόμενα Ἀλκυό- 212 A :ια.

κγ'. τῇ πρὸ ζ' καλενδῶν ὁ ὑδροχόος ἄρχεται ιίσχειν, ἡ δὲ πρωϊνὴ χειμάζει.

κδ'. τῇ πρὸ ϛ' καλενδῶν ἀργέστης πνεῖ ἅμα καὶ )ρρᾶς.

κε'. τῇ πρὸ ε' καλενδῶν ὁ ἀρκτοῦρος ἀνίσχει, ιὶ ὕει.

κϛ'. τῇ πρὸ δ' καλενδῶν ὁ ἀρκτοῦρος ἀνίσχει ἐν B ιέρᾳ.

κζ'. τῇ πρὸ γ' καλενδῶν δύεται ἐν ἑσπέρᾳ ὁ παρ' :λλησι λεγόμενος ὀϊστός.

v. 1—4 Colum. l. s. *X cal. Mart. leo desinit occidere; nti septentrionales, qui vocantur ornithiae, per dies triginta se solent; tum et hirundo advenit.* || v. 3 ἐπὶ τέσσαρας ἡμέ- ιc *F*, *per quatriduum* Leon. || v. 4 ἀναφαίνεται *R* || v. 5—7 )lum. l. s. *VIIII cal. Mart. arcturus prima nocte oritur; igidus dies aquilone vel coro, interdum pluvia.* || v. 7 εἰ δὲ ιξ ἀνεφής *F* || v. 8 et 9 Colum. l. s. *VIII cal. Mart. alcyonei dies vocantur.* || v. 11 ἡ] εἰ *F* || προεινῇ *C*, προινή || v. 12 ἐργάτης *C*, ἐργαστής *F* || v. 14 et 15 Gemin. ἐν ι δ̅ (τῶν ἰχθύων) . . Εὐδόξῳ ἀρκτοῦρος ἀκρόνυχος ἐπι- λλει καὶ ὑετὸς γίνεται. Ptolem. ὥρᾳ ι̅ε̅ ἀρκτοῦρος ἑσπέ- οc ἀνατέλλει || v. 18 ὁ — ὀϊστός (v. 19)] ὁ λεγόμενος παρ' λλησιν ἱστός *F*, *malus* Leon. ||

κη′. τῇ πρὸ α′ καλενδῶν Μαρτίων ὁ Ζέφυρος πλατύς, καὶ ἡ ἡμέρα πᾶσα ἐαρινή.

## ΜΑΡΤΙΟΣ

61. α′. καλένδαις Μαρτίαις νότος καὶ λίψ.

C β′. τῇ πρὸ ϛ′ νωνῶν Μαρτίων λίψ, καὶ ὁ τρυγητὴς ἄρχεται φαίνεσθαι. βορέας δὲ ψυχρὸς πνεῖ ἕως τῆς ἑωθινῆς δύσεως τοῦ ἀρκτούρου.

γ′. τῇ πρὸ ε′ νωνῶν δυσαερία καὶ βροχή· καὶ ὁ ἀρκτοῦρος ἀνίσχει ἡλίου ἐγειρομένου, καὶ βορρᾶς πνεῖ.

δ′. τῇ πρὸ δ′ νωνῶν ὁ ἀρκτοῦρος ἐν ἡμέρᾳ ἀνίσχει.

D ε′. τῇ πρὸ γ′ νωνῶν ὡσαύτως.

ϛ′. τῇ πρὸ α′ νωνῶν ὑετὸς χιόνι μεμιγμένος.

214 A ζ′. νώναις Μαρτίαις δύεται ὁ ἵππος ἀπὸ πρωΐ, 362
καὶ βορρᾶς φυσᾷ. δύεται δὲ καὶ ὁ στέφανος ὄρθρου.

v. 4 Colum. 23. *cal. Mart. africus, interdum auster cum grandine.* || λίψ] λίβας πνεύσει *F*, *africus simul spirant* Leon. || v. 5 et 6 Colum. 24. *IIII non. Mart. vindemiator apparet, quem Graeci* τρυγητῆρα *dicunt; septentrionales venti.* || v. 5 λίψ, καὶ] om. *F* et Leon. || v. 11 et 12 Ptolem. ὥρᾳ ιδ ϛ′ ἀρκτοῦρος ἑσπέριος ἀνατέλλει. || ὁ — ἀνίσχει] ὡσαύτως ἀρκτοῦρος ἐπιτέλλει *F*, *arcturus similiter emergit.* Leon. || v. 13 Gemin. ἐν τῇ ιβ (τῶν ἰχθύων) Εὐκτήμονι ἀρκτοῦρος ἑσπέριος ἐπιτέλλει. || ὡσαύτως] ὁ ἀρκτοῦρος ἐν ἡμέρᾳ ἀνίσχει *F*, *arcturus interdiu emergit.* Leon. || v. 14 ὑετὸς — μεμιγμένος] βορρᾶς καὶ συννεφία *F*, *aquilo flat, nubilosum caelum* Leon. || ὁ ante ὑετὸς del. Hercher coll. p. 118, 14 || v. 15 et 16 Colum. l. s. *non. Mart. equus mane oritur; flatus aquilonis.* Gemin. ἐν τῇ ιδ (τῶν ἰχθύων) . . Εὐκτήμονι ἵππος ἑῷος δύνει· ἐπιπνεῖ βορέας ψυχρός. Lyd. de mens. IIII 35. ὁ Βάρρων ὄρθρου τὸν στέφανον δύεσθαι λέγει καὶ πνεῖν τὸν βορρᾶν. ortus vespertinus equi apud Ovid. III 449; ortus vespertinus co-

η΄. τῇ πρὸ η΄ εἰδῶν Μαρτίων ἄρχεται τὰ ὄρνεα φαίνεσθαι ἐπὶ τῆς θαλάσσης, βορρᾶς δὲ καὶ ἀπαρκτίας φυσᾷ, καὶ προοίμιον τοῦ ἔαρος. καὶ ὁ μὲν ἥλιος περὶ τὸ μέσον τῶν ἰχθύων, ὁ δὲ ἵππος δύεται.

θ΄. τῇ πρὸ ζ΄ εἰδῶν ἰκτῖνος ἄρχεται φαίνεσθαι, B
νότος δὲ πνεῖ, καὶ ὄρθρου ὁ ἰχθὺς ἀπὸ τοῦ νότου ἄρχεται κρύπτεσθαι.

ι΄. τῇ πρὸ ς΄ εἰδῶν ὁ ἵππος δύεται ὄρθρου, ὁ δὲ ἰκτῖνος ἀπὸ ὑψηλῶν ἐπὶ τὰ χθαμαλὰ καθίπταται· καὶ ὁ μὲν τρυγητὴς δύεται, ὁ δὲ ἀρκτοῦρος ἀνίσχει. βορρᾶς δὲ ψυχρὸς ῥεύσει.

ια΄. τῇ πρὸ ε΄ εἰδῶν χωρισμὸς μὲν τοῦ χειμῶνος, τροπὴ δὲ ἀπὸ βορρᾶ καὶ ἀπαρκτίου. C

ιβ΄. τῇ πρὸ δ΄ εἰδῶν παύεται μὲν ὁ ἰχθὺς ἀπὸ τοῦ νότου ἀνίσχειν, ἀπαρκτίας δ' ἢ νότος φυσᾷ.

ιγ΄. τῇ πρὸ γ΄ εἰδῶν ἡ μὲν Ἀργὼ ἀνίσχει ἐν ἑσπέ-

ronae apud eund. III 459 || p. 122 v. 15 pro δύεται Merkel proleg. Ovid. fast. p. LXX φαίνεται perperam scribi volt. || v. 16 pro δύεται Merkel l. s. coni. φαίνεται et pro ὄρθρου idem ἑσπέρᾳ || ὄρθρος *C* || post ὄρθρου add. *F* καὶ οἰδάτων ἐπομβρᾶ, Leon. *aquarum de caelo pluvies.* ||

v. 1 ἄρχονται *CF* || v. 3 ἀέρος *C* || v. 5—7 Plin. XVIII 237. *postero die* (i. e. VII id.) . . . *in Attica milvom adparere servatur.* || v. 6 δὲ] τε *F* || νότου] *tergore* Leon. i. e. νώτου, quod probant H. et Hertzberg in diar. antiqu. 1846 p. 245 || v. 7 pro κρύπτεσθαι H. coni. φαίνεσθαι cf. v. 14 || v. 8 Gemin. ἐν τῇ ιζ (τῶν ἰχθύων) Εὐδόξῳ . . ἰκτῖνος φαίνεται. || v. 9 ἐπὶ τὰ χαμαὶ καθίσταται *F* || v. 13 ἀπὸ add. *F* etiam ante ἀπαρκτίου || ἀπαρκτία codices || v. 14 Colum. l. s. *III id. Mart. piscis aquilonius desinit oriri, septentrionales venti.* || παύσεται *F* || ὁ ante ἰχθὺς *F* add. || v. 15 νότου] *tergore* Leon. || v. 16 Colum. l. s. *pridie id. Mart. Argo navis exoritur; favonius aut auster, interdum aquilo.* || ἐν ἑσπέρᾳ δὲ ζέφυρος καὶ *F* ||

ρᾳ, Ζέφυρος δὲ καὶ νότος πνεύσει καὶ ὁ ἐπὶ τῆς οὐρᾶς τοῦ λέοντος δύεται· χειμάζει.

ιδʹ. τῇ πρὸ αʹ εἰδῶν βορρᾶς δι' ὅλης τῆς
D ἡμέρας.

ιεʹ. εἰδοῖς Μαρτίαις ὁ ἵππος δύεται, βορέας δὲ ψυχρὸς πνεῖ.

ιϛʹ. τῇ πρὸ ιζʹ καλενδῶν Ἀπριλίων......

216 A ιζʹ. τῇ πρὸ ιϛʹ καλενδῶν ἥλιος κριῷ γίνεται· ὁ δὲ Ζέφυρος κατὰ πλάτος πνεῖ. πέλαργος φαίνεται καὶ μέγα πέλαγος πλέεται.

ιηʹ. τῇ πρὸ ιεʹ καλενδῶν ἀνεμομαχία, ὁ δὲ βορρᾶς ἐπικρατεῖ.

D ιθʹ. τῇ πρὸ ιδʹ καλενδῶν νότος πνεῖ, ὁ δὲ ἰκτῖ- 363
νος φαίνεται ἕως τῆς ἰσημερίας.

κʹ. τῇ πρὸ ιγʹ καλενδῶν βορέας πνεῖ εὔδιος.

v. 1 καὶ ὁ ἐπὶ — χειμάζει] addidi ex *F*; *et in leonis cauda hiemat dies* add. Leon. || v. 2 δύεται ex coniectura addidi || v. 3 Gemin. ἐν τῇ κα̅ (τῶν ἰχθύων) Εὐδόξῳ .. ἄρχονται ὀρνιθίαι πνέοντες. || v. 4 post ἡμέρας *F* add. πνεύσει. || v. 7 ad 15. Mart. *F* (qui praeterea, ut assolet, scribit πρὸ ιϛʹ pro ιζʹ et sic semper, postremo πρὸ βʹ pro πρὸ γʹ) refert quae in ceteris codicibus diei 16. Mart. adscripta sunt, ad 16. quae diei 17. et sic semper usque ad finem mensis, 31 Mart. vero deest; idemque facit Leonic., sed ad 31 Mart. apud eum legitur: *ventorum procellae et saepe pluit.* in ceteris codicibus ad 15. Mart. omissus est status caeli, quem ex Columella 31 et Ovidio III 711 Merkel proleg. Ovid. fast. p. LXXI supplet σκορπίος δύεται. || v. 8 Colum. 31. *XVI cal. April. sol in arietem transitum facit; favonius vel corus.* || v. 9 πνεῖ — πλέεται] addidi ex *F*; *spirat, ciconia apparet et mare transmittit* add. Leon. || v. 11 Lyd. de mens. IIII 39. Εὐκτήμων ποικίλους ἀνέμους πνέειν λέγει. || v. 14 ἕως — ἰσημερίας] ἐπὶ τῆς ἡμέρας *FS*, *diliculo* Leon. ||

κα'. τῇ πρὸ ιβ' καλενδῶν ὁ μὲν ἵππος ἕωθεν B δύεται, βορέας δὲ ἢ ἀπαρκτίας πνεῖ.

κβ'. τῇ πρὸ ια' καλενδῶν ὁ κριὸς εἰς πλάτος ἀνίσχει, ἔστι δ' ὅτε ἢ βρέχει ἢ νίφει.

κγ'. τῇ πρὸ ι' καλενδῶν ὡσαύτως.

κδ'. τῇ πρὸ θ' καλενδῶν ἰσημερία ἐαρινή, καὶ βροχὴ ἢ βροντώδης τροπή.

κε'. τῇ πρὸ η' καλενδῶν ἀπαρκτίας ἢ βορρᾶς, C καὶ ὁ ἵππος ἕωθεν δύεται.

κϛ'. τῇ πρὸ ζ' καλενδῶν οἱ ἰχθύες ἀνίσχουσι, καὶ ἐκ τοῦ νότου βρέχει μετὰ χιόνος· ὁ δὲ κριὸς ἕωθεν ἀνίσχει κατὰ θάλασσαν ταραχὴ ἀέρος.

κζ'. τῇ πρὸ ϛ' καλενδῶν ἰσημερία ἐαρινή. ἔστι δ' ὅτε βρέχει καὶ βροντᾷ.

κη'. τῇ πρὸ ε' καλενδῶν ἐξισοῦται ἡ ἡμέρα τῇ D νυκτί.

v. 1 Colum. l. s. *XII cal. April. equus occidit mane; septentrionales venti.* Plin. XVIII 237. *(Caesar sibi notavit) XII Kalend. equm occidere matutino.* || v. 4 ἔσται δὲ τότε βροχὴ ἢ νιφετὸς *F* || v. 5 Colum. l. s. *X cal. April. aries incipit exoriri, pluvius dies; interdum ningit.* || ὡσαύτως] in *F* spat. c. 8 litter., in Leon. *cancer tergore oritur; auster flat.* || v. 6 Colum. l. s. *VIIII et VIII cal. Apriles aequinoctium vernum, tempestatem significat.* Gemin. ἐν τῇ πρώτῃ (τοῦ κριοῦ) Καλλίππῳ .. ἰσημερία ἐαρινὴ καὶ ψεκὰς λεπτή. || ἐαρινή] ἰσημερινή *C*, om. *F* || v. 7 ἢ] καὶ *F*, om. *R* || τροπή om. *FR* || v. 8 post βορρᾶς *F* add. πνεῖ, Leon. add. *flant* || v. 11 Gemin. ἐν τῇ γ̄ (τοῦ κριοῦ) Καλλίππῳ κριὸς ἄρχεται ἐπιτέλλειν· ὑετὸς ἢ νιφετός. || v. 12 κατὰ θάλασσαν — ἀέρος] sic scripsi, μετὰ θαλάσσης· ταραχὴ θέρος *F*, *cum mari, turbatio aeris* Leon., ceteri omittunt. || v. 13 ἔστιν δὲ ὅτι καὶ *F* || v. 15 ἐξισοῦνται ἡ ἡμέρα καὶ ἡ νύξ *F* ||

κθ'. τῇ πρὸ δ' καλενδῶν ὁ μὲν σκορπίος δύεται, μέγας δὲ ῥέων ἄνεμος βροχὰς βροντώδεις συστρέφει.

218 A λ'. τῇ πρὸ γ' καλενδῶν ὁ μὲν σκορπίος δύεται, ἀπαρκτίας δὲ φυσᾷ μετὰ βροχῆς.

λα'. τῇ πρὸ α' καλενδῶν βρέχειν πέφυκε, καὶ ἐκ τοῦ νότου βροντᾷ.

## ΑΠΡΙΛΙΟΣ

62. α'. καλένδαις Ἀπριλίαις ὁ μὲν σκορπίος δύεται, B καὶ ὁ ἥλιος μίαν ἡμέρᾳ προστίθησι μοῖραν, καὶ συννέφεια γίνεται ἐκ τοῦ βορρᾶ, καὶ αἱ πλειάδες ἄρχονται ἐπιτέλλειν καὶ ἐπισημαίνειν.

β'. τῇ πρὸ δ' νωνῶν Ἀπριλίων συννέφεια καθ' 364 ὅλην τὴν ἡμέραν.

γ'. τῇ πρὸ γ' νωνῶν ἐν ἑσπέρᾳ αἱ πλειάδες δύονται.

δ'. τῇ πρὸ α' νωνῶν ῥεύσει ὁ λίψ.

ε'. νώναις Ἀπριλίαις καταπνεῖ ὁ ζέφυρος.

v. 2 βροχαὶ βροντώδη *C*, βροχὴν βροντώδη *F* || v. 5 βρέχειν — βροντᾷ (v. 6)] *auster flat et pluit* Leon. || v. 6 βροντῇ *F* || v. 8—10 Colum. 34 *cal. April. nepa occidit mane, tempestatem significat.* nepae occasus ap. Ovid. IIII 163 || v. 9 ἡμέρᾳ] addidi, ἡμέραν add. *F*, *diei* add. Leon. || v. 10 καὶ — ἐπισημαίνειν (v. 11)] addidi ex *F* (αἱ om. et ἐπιπλεῖν scribit *F*), *vergiliae oriri et praesignificari incipiunt* add. Leon. || v. 12 καθ' ὅλην τὴν γῆν *F*, *per omnes terras* Leon. || v. 14 et 15 Plin. XVIII 246. *III non. April. in Attica vergiliae vesperi occultantur.* || v. 15 δύνουσιν *R* || v. 16 et 17 Colum. 34. *non. April. favonius aut auster cum grandine, nonnumquam hoc idem pridie.* || v. 17 καταπνεῖ ὁ ζέφυρος] αἱ ὑάδες ἀνίσχουσι, καὶ βροχαὶ ἐκ τοῦ νότου ἐπιτείνουσιν *CRS* ||

ϛ'. τῇ πρὸ η' εἰδῶν αἱ ὑάδες ἀνίσχουσι, καὶ βρο- C
χαὶ ἐκ τοῦ νότου ἐπιτείνουσιν.

ζ'. τῇ πρὸ ζ' εἰδῶν νότος φυσᾷ, καὶ τὸ λοιπὸν τῶν ὑάδων δύεται.

η'. τῇ πρὸ ϛ' εἰδῶν ὁ ζέφυρος· ὄρθρου ἄρχεται δύεσθαι ζυγόν.

θ'. τῇ πρὸ ε' εἰδῶν ζάλη ἐκ τοῦ νότου.

ι'. τῇ πρὸ δ' εἰδῶν βορρᾶς μὲν πᾶσαν καταπνεῖ
τὴν ἡμέραν, ἡ δὲ ἑσπέρα ἔσται ἐπίβροχος. D

ια'. τῇ πρὸ γ' εἰδῶν ψυχροὶ ἄνεμοι καὶ βροχαί.

ιβ'. τῇ πρὸ α' εἰδῶν αἱ ὑάδες κρύπτονται.

ιγ'. εἰδοῖς Ἀπριλίαις βορρᾶς ῥεύσει· μικροῦ 220 A
παχνήτου ἀνατολή.

ιδ'. τῇ πρὸ ιη' καλενδῶν Μαΐων κρύφιον ἄστρον καὶ ἄνεμοι καὶ ὄμβροι.

v. 1 αἱ — ἐπιτείνουσιν (v. 2)] καταπνεῖ ὁ ζέφυρος *CRS* || Colum. l. s. *VIII id. April. vergiliae vespere celantur, interdum hiemat.* || v. 3—6 Colum. l. s. *VII id. April. VI et V austri et africi tempestatem significant.* || v. 3 φυσᾷ] πνεῖ *F* || v. 4 ὑάδων] πλειάδων *FR* || apud Ovid. IIII 904 canis ortus (cf. Ideler *ueber die Fasti des Ovid* p. 163) || v. 5 et 6 post δύεσθαι addidi ζυγὸν, collato Colum. l. s. *IIII id. April. sole oriente libra occidere incipit* et ante ὄρθρου interpunxi quod cum Herchero credo post ζέφυρος intercidisse ῥεύσει; Merkel prol. Ovid. fast. p. LXXI addi volt ζυγὸν καὶ Ὠρίων (coll. Plin. XVIII 66, Callipp. ap. Gemin. p. 67 B) vel scribi ὁ ζυγὸς καὶ Ὠρίων ἄρχεται δύεσθαι; Leon. vertit: *favonius flare incipit matutino; vergiliae occidunt.* || v. 7 ζάλαι *F* || v. 9 τὴν ἡμέραν] om. *F* || v. 11 Col. l. s. *pridie id. April. suculae celantur, hiemat.* || v. 12 post ῥεύσει addidi ex *F* μικροῦ παχνήτου ἀνατολή, quod non assequor; *parvum praesepe* (i. e. φάτνη quae ex volgari lingua πάθνη cf. Geopon. XV 4, 1, apud hodiernos Graecos παχνί) *exoritur* add. Leon. || v. 14 Col. 36. *XVIII cal. Mai. ventosa tempe stas et imbres nec hoc constanter.* || κρύφιον—ὄμβροι] ἡ υἱὰς δύεται *F* || v. 15 ὄμβρος *R* ||

ιε. τῇ πρὸ ιζ′ καλενδῶν ἡ ὑὰς δύεται καὶ ἄνεμοι ψυχροὶ πνέουσιν· ὁ δὲ Περσεὺς ἐπιτέλλει.

ις′. τῇ πρὸ ις′ καλενδῶν αἱ ὑάδες δύονται καὶ Ζέφυρος πνεῖ.

B ιζ′. τῇ πρὸ ιε′ καλενδῶν ὁ μὲν ἥλιος ταύρῳ, ἡ δὲ ὑὰς δύεται.

ιη′. τῇ πρὸ ιδ′ καλενδῶν λὶψ καταπνεύσει.

ιθ′. τῇ πρὸ ιγ′ καλενδῶν καθόλου δύονται αἱ ὑάδες, ὁ δὲ λὶψ ἐν ἑσπέρᾳ ἐπέρχεται.

κ′. τῇ πρὸ ιβ′ καλενδῶν ὁ Ζέφυρος καταπνεῖ. 365

κα′. τῇ πρὸ ια′ καλενδῶν ἡ κεφαλὴ τοῦ ταύρου δύεται, καὶ οὐχ ἥκιστα ὕει.

C κβ′. τῇ πρὸ ι′ καλενδῶν αἱ πλειάδες ἀνίσχουσι καὶ Ζέφυρος πνεῖ.

κγ′. τῇ πρὸ θ′ καλενδῶν ἡ λύρα τῇ πρώτῃ φυλακῇ τῆς νυκτὸς φαίνεται, καὶ ἔσται τροπή.

κδ′. τῇ πρὸ η′ καλενδῶν φαίνεται ἡ λύρα, καὶ

v. 1 Gemin. ἐν τῇ κγ (τοῦ κριοῦ) Εὐκτήμονι ὑάδες κρύπτονται. || v. 2 post πνέουσι addidi ex *F* ὁ δὲ Περσεὺς ἐπιτέλλει (ἐπιτελεῖ *F*), *Perseus oritur* add. Leon. || v. 3 Ptolem. ὥρᾳ ιε ς″ ὁ λαμπρὸς τῶν ὑάδων κρύπτεται. Plin. XVIII 247. *XVI (kal. Mai.) Atticae (suculae occidunt vesperi).* apud Ovid. IIII 677 sucularum occasus vespertinus. || v. 5 Colum. l. s. *XV cal. Mai. sol in taurum transitum facit.* Plin. l. s. *XV (kal. Mai.) Caesari (suculae occidunt vesperi).* || v. 8 Ptolem. ὥρᾳ ιδ ς″ ὁ λαμπρὸς τῶν ὑάδων κρύπτεται. || v. 9 ἀπέρχεται *F* || v. 11 Col. l. s. *XI cal. Mai. ver bipartitur, pluvia et nonnumquam grando.* || v. 13 Col. l. s. *X cal. Mai. vergiliae cum sole occidunt, africus vel auster.* || v. 15 Col. 37. *VIIII cal. Mai. prima nocte fidicula apparet, tempestatem significat.* Ptolem. ὥρᾳ ιδ ς″ ὁ λαμπρὸς τῆς λύρας ἑσπέριος ἀνατέλλει. || ἡ — φυλακῇ] δευτέρα φυλακὴ *F* || v. 16 καὶ — τροπὴ] om. Leon. || ἔστιν *F* ||

βροχῶν cημαcία· ἀρχὴ παχνήτου καὶ ἔαροc· νότοc πνεῖ.

ρος· περὶ δὲ τὴν περιφέρειαν αὐτοῦ ἀκτῖνες περικέχυνται. ἔστι (cod. ἔσται) δὲ μονοπρόσωπος (cod. μονοπρόσωπον) καὶ πρὸς πᾶν κλῖμα (cod. κλήμα) ὁμοίως διακείμενος. κινεῖ γὰρ παντοίους πολέμους ἐν πάσῃ χώρᾳ καὶ θάνατον μεγάλου βασιλέως ἀπειλεῖ (ἀπεῖλει addidi) καὶ τοὺς ἐν ἀρχαῖς καὶ δόξῃ (cod. δόξει) ταπεινοῖ. ἔστι δὲ καὶ ἄλλος κομήτης ῥοδοειδὴς καὶ μέγας, κυκλοτερής (cod. κυκλωτερεῖς), ὃς καλεῖται Εἰληθυίας, κόρης ἔχων (cod. ἔχον) πρόσωπον, χρυσοειδεῖς (cod. χρυσοειδῆς) ἔχων τὰς (cod. ἔχοντας) ἀκτῖνας κύκλῳ τῆς κεφαλῆς, ἡδύς τε τῇ προσόψει, τῷ (cod. τό) τε χρώματι ὅμοιος (cod. ὁμοίως) ἀργύρου καὶ χρυσοῦ κράματι. σημαίνει δὲ ἀνθρώπων κακῶν (κακῶν addidi) κατακοπὰς καὶ μεταβολὴν πραγμάτων ἐπὶ τὸ βέλτιον καὶ τοῖς συγκατακλῃμένοις (sic corr. Hercher pro συγκατακεκλιμένοις) ἄφεσιν. ἔστι δὲ καὶ ἕτερος κομήτης τιτὰν (num τιτᾶνος? an cum Herchero γίγας?), ὃς καλεῖται τυφών (sic!), χαλεπὸς (cod. χαλαιπῶς) λίαν καὶ πυρώδης, ἄμορφος καὶ βραδυκίνητος· ἔχει δὲ τὴν χαίτην ὡς μαλλὸν (sic corr. Hercher pro μᾶλλον) ὀπίσω· ἐπικαταφέρεσθαι δὲ εἴωθεν τῷ ἡλίῳ ἐν τοῖς πέρασι τοῦ ἀρκτικοῦ πόλου. φανεὶς δὲ πολλῶν κακῶν αἴτιος ἔσται. καρπῶν ἀπώλειαν καὶ βασιλέων * (nullum lacunae signum in cod.) ἔν τε τῇ ἀνατολῇ καὶ δύσει. αἱ δὲ δοκίδες καὶ πωγωνίαι μετὰ τῶν ἄλλων ἐκτὸς τοῦ ζωδιακοῦ συνίστανται ἐν τῷ ἀρκτικῷ μέρει.

## 4 AVIENI APVD SERVIVM IN AENEID. X 272 p. 589 ED. DANIEL.

Sane Avienus cometarum has differentias dicit: Stella quae obliquam facem post (*edit. add.* quae) se trahens quasi crinem facit Hippius vocatur: ista si

ab occasu solis in ortum veniat mala Persidi et Syriae ostendit; si ad meridiem attenderit, Africam et Aegyptum a malis relevat (*edit.* revelat) solis pecoribus pestem denuntians; si septentrionem respexerit, Aegyptum bellis et miseriis premit; si occidentem attenderit, gravat Italiam et quidquid ab Italia usque ad Hispanias tendit: si a meridie in septentrionem ierit a bellis quidem externis securitatem denuntiat, sed seditiones domesticas significat. Alter cometes est, cui ex gladio nomen est, nam Graece ξιφίας (*edit.* ξίφος) appellatur, cuius tractus est longior et pallidus color, neque comas habere dicitur et hebetior eius flamma est, qui si orientem attenderit, regem Persidis dolis significat appetendum, denuntiat (*edit.* denuntiavit) et bella, etiam Syrios pari conditione involvit et Libyam atque Aegyptum fraude et insidiis nuntiat (*edit.* nuntiet) posse laborare (*edit.* laborem). Quod si occidentem attenderit foedera nova regionis eius regi significat, quae dicit per puellam congregatam in nuptias posse dissolvi. Alter cometes est, qui Lampadias (*edit.* Lampas) appellatur, et quasi fax lucet; hic cum orientem attenderit, omnes illas orientis partes dicit nebulis posse laborare frugesque eorum caliginoso (*edit.* caligoso) aere corrumpi; si meridiem attenderit, Africam dicit siccitate et serpentibus posse laborare; si occidentem spectaverit, Italiam dicit adsiduis fluminum inundationibus laborare; si septentrionem viderit, famem gentibus septentrionalibus significat. Est etiam alter cometes, qui vere Cometes appellatur. nam comis hinc inde cingitur; hic blandus esse dicitur. qui si orientem attenderit, laetas res ipsi parti significat; si meridiem, Africae aut Aegypto gau-

dia; si occidentem inspexerit, terra Italiae voti sui compos erit; hic dicitur apparuisse eo tempore, quo est Augustus sortitus imperium, tunc denique gaudia omnibus gentibus futura sunt nuntiata. si septentrionem attenderit prospera universa significat. Est alter cometes in tympani modum, qui (*edit.* quia) et valde lucet et electri colorem habet, quem Disceum vocant, quoniam iste ex uno loco (*edit.* locon) solet gigni (*edit.* gignit); orbi terrarum caedes, rapinas, bella et cetera mala significat. Sextum cometen appellari ex regis Typhonis nomine Typhonem dicunt, qui semel in Aegypto sit visus, qui non igneo sed sanguineo rubore fuisse narratur, globus ei modicus dicitur et tumens, crinem eius tenui lumine apparere fertur, qui in septentrionis parte aliquando fuisse dicitur. hunc Aethiopes dicuntur et Persae vidisse et omnium (*edit.* omni) malorum et famis necessitates (*edit.* fames necessitatis) pertulisse. Quarum plenas (*edit.* plena) vel (*edit. add.* in) pleniores differentias vel in Campestro vel in Petosiri, si quem (*edit.* inpetussirisiq) delectaverit, quaerat.

# II ANONYMI DISSERTATIO DE TERRAE MOTIBVS

IN CODICE LAVRENTIANO 28, 34 (SAEC. XI)
FOL. 110 SQ.

## ΦΥCΙΚΗ ΘΕΩΡΙΑ ΠΕΡΙ ΤΩΝ ΓΙΝΟΜΕΝΩΝ CΕΙCΜΩΝ ΩC ΟΙ ΠΑΛΑΙΟΙ

Καθόλου τοίνυν περὶ τῶν ἐν τῇ γῇ γινομένων σεισμῶν καὶ τῆς τούτων αἰτίας, καθὰ τοῖς παλαιοῖς διείληπται, ῥητέον δυσεπηβόλου[1]) τε καὶ σχεδὸν ἀτεκμάρτου[2]) αὐτοῖς τοῦ τοιούτου εἴδους καταληφθέντος· ἐπεὶ τοίνυν τοῖς περὶ τὴν γῆν πάθεσιν μίαν ἐκ πασῶν τὴν περὶ τοῦ καταγείου[3]) πυρὸς αἰτίαν τέως ἀποδεχομένους ὁρῶμεν, ἐπεὶ καὶ τοὺς τόπους, ἐν οἷς συνεχῶς σάλοι συμβαίνουσιν, ἐπετήρησαν. καὶ γὰρ τὸ πῦρ διεργαζόμενον cetera quae apud Lydum cap. 53 p. 103 v. 8 usque ad p. 105 v. 9 leguntur.

οἱ δέ γε τῶν φυσικῶν ἀκριβέστερον περὶ σεισμῶν ἀναλαβόντες τὴν αὐτῶν γένεσιν οὕτως πώς φασιν. ἔστι φανερὸν ὅτι ἀναγκαῖον καὶ ἀπὸ ὑγροῦ καὶ ἀπὸ ξηροῦ γίνεσθαι ἀναθυμίασιν cetera quae leguntur per totum caput octavum Aristotelis meteorologic. lib. II; et explicit: περὶ μὲν οὖν σεισμῶν καὶ ὅντινα τρόπον γίγνονται τὰ παρὰ τῶν παλαιῶν εὑρήματα τοσαῦτα.

1) sic *G* i. e. cod. Laurent. 28, 14 (saec. XIIII) fol. 146, in quo extat brevior epitome huius tractatus; δυσεπιβούλου *F* (cod. Laur. 28, 34). 2) sic scripsi, ατ᾽ ἐκμαρτυρίας *F*, ἄνευ μαρτυρείας *G*. 3) ὑπογείου *G*.

## ΠΕΡΙ ϹΕΙϹΜΩΝ ΠΡΟϹΗΜΕΙΩϹΕΙϹ

Ἃ δὲ καὶ περὶ τοῦ προγνῶναι τὴν αὐτῶν γένεϲιν, ὅϲον κατὰ δύναμιν ἀνθρώποιϲ ἐϲημειώθη, ϲυναγαγόντεϲ εἰϲ ἓν ϲύνοπτον[1]) παραθεῖναι διέγνωμεν. λέγεται τοίνυν ϲημαίνειν ϲειϲμὸϲ τῶν κακοποιῶν ἀϲτέρων ἐν τοῖϲ ἐπιϲήμοιϲ τῷ πάθει ζωδίοιϲ γιγνομένων. Κρόνοϲ ταύρῳ. Κρόνοϲ μὲν γὰρ εἰϲ τὸν ταῦρον τὴν μετάβαϲιν ποιούμενοϲ ϲειϲμὸν ὡϲ ἐπὶ τὸ πλεῖϲτον ποιεῖ κατὰ τόπουϲ καὶ μάλιϲτα ἐν ταῖϲ χώραιϲ καὶ πόλεϲιν, ἐν αἷϲ ὑπάρχει ἡ τοῦ ταύρου δεϲποτία. ὁ δ' αὐτὸϲ ἀϲτὴρ τοῦ Κρόνου καὶ φάϲιν ποιούμενοϲ ἐν τῷ πρώτῳ δεκανῷ τοῦ ταύρου ϲειϲμοὺϲ κατὰ τόπουϲ ποιεῖ. Κρόνοϲ διδύμοιϲ. ἐν δὲ τοῖϲ διδύμοιϲ ὁ Κρόνοϲ γενόμενοϲ καὶ ἐν τοῖϲ βορείοιϲ ἐλθὼν τούτου τοῦ ζωδίου μέρεϲι ϲειϲμοὺϲ κατὰ τόπουϲ ποιεῖ. Κρόνοϲ καρκίνῳ· ἔτι δ' ἐν καρκίνῳ τὴν μετάβαϲιν ὁ Κρόνοϲ ποιούμενοϲ ϲειϲμοὺϲ ποιεῖ. Κρόνοϲ ϲκορπίῳ. ἐν δὲ τῷ τρίτῳ δεκανῷ τοῦ ϲκορπίου φάϲιν ὁ Κρόνοϲ ποιούμενοϲ ϲειϲμὸν γενέϲθαι ϲημαίνει. Ἄρηϲ ταύρῳ. Ἄρηϲ δ' ἐν ταύρῳ διὰ μέϲου τοῦ ζωδίου γινόμενοϲ ϲειϲμῶν ἐϲτι κινητικόϲ. ἐν δὲ τοῖϲ διδύμοιϲ ὁ αὐτὸϲ ἀϲτὴρ γινόμενοϲ καὶ ἐν τοῖϲ βορείοιϲ τοῦ ζωδίου μέρεϲιν ἐλθὼν ϲειϲμὸν ποιεῖ. ἐν καρκίνῳ δὲ Ἄρηϲ φάϲιν ποιούμενοϲ ἐν τῷ πρώτῳ δεκανῷ ϲειϲμὸν ϲημαίνει. ἥλιοϲ ὑδροχόῳ. (cod. add. καὶ) ἥλιοϲ δὲ ἐκλείπων ἐν τῷ δευτέρῳ δεκανῷ τοῦ ὑδροχόου ϲειϲμοὺϲ ϲημαίνει. ἥλιοϲ ἰχθύϲιν. ἔτι δὲ ἐκλείπων ὁ ἥλιοϲ ἐν τῇ πρώτῃ δεκαμοιρίᾳ τῶν ἰχθύων ϲειϲμὸν ἐν ταῖϲ παραλίαιϲ ϲημαίνει. ϲελήνη ϲκορπίῳ. ϲελήνη δὲ ἐκλείπουϲα ἐν τῇ

1) ϲύνοπτον] ἐνϲύνοπτον cod., num εὖ ϲύνοπτον?

πρώτῃ δεκαμοιρίᾳ τοῦ σκορπίου ἐνίοτε σεισμὸν σημαίνει. καθόλου δὲ αἱ ὑπὸ γῆν ἐκλείψεις ἡλίου ἢ σελήνης σεισμοὺς ἀποτελοῦσιν ὡς ἐπὶ τὸ πλεῖστον. ἔτι τὰ προηγούμενα τοῦ δωδεκατημορίου τοῦ ταύρου καὶ μάλιστα τὰ κατὰ τὴν πλειάδα σεισμώδη γίγνεται, εἰ μή (cod. εἰμί) τις τῶν ἀγαθοποιῶν ἀστέρων ἐπίδοι. καὶ τὰ βόρεια δὲ τοῦ δωδεκατημορίου τῶν διδύμων σεισμώδη καθίσταται καὶ τὰ τοῦ δωδεκατημορίου τοῦ σκορπίου ἑπόμενα σεισμώδη φασίν. ὁ δὲ τοῦ Ἑρμοῦ ἀστὴρ τὴν οἰκοδεσποτίαν λαβὼν σεισμῶν ἀποτελεστικὸς περὶ τὸ κατάστημα. περὶ δὲ τὰς τῆς σελήνης ἐκλείψεις ἐνίοτε προσδοκᾶν χρὴ εὐθὺς γενέσθαι σεισμόν [1]). ἐὰν δὲ μεθ᾽ ἡμέραν (cod. ἡμέρας) ἢ μικρὸν μετὰ δυσμὰς αἰθρίας οὔσης νεφέλιον λεπτὸν φαίνηται (cod. φαίνεται) διατεῖνον καὶ μακρὸν οἷον γραμμῆς μῆκος εὐθύτητι διηκριβωμένον σεισμὸν σημαίνει παραυτίκα [2]). καὶ ψόφος δὲ γιγνόμενος ὑπὸ γῆς σεισμὸν σημαίνει [3]). ὅταν δὲ σεισμὸς μέγας γένηται, πρότερον μὲν ἐπὶ τεσσαράκοντα ἡμέρας σείει· ὕστερον δὲ καὶ ἐπ᾽ ἐνιαυτὸν καὶ δύο ἔτη πολλάκις σείει κατ᾽ αὐτοὺς τοὺς τόπους. τοσαῦτα μὲν οὖν καὶ περὶ τῆς τῶν σεισμῶν προγνώσεως ἐσημειώθη παρὰ τοῖς παλαιοῖς· ἡμῖν δὲ νόμος καὶ ὅρος ἑκάστοτε καὶ ἐφ᾽ ἑκάστῳ τῶν συμβαινόντων ἄνωθεν τὸ θεῖον πρόσταγμα πιστεύεται, ἀρρήτῳ τινὶ προνοίᾳ λόγῳ τοῦ πάντα πεποιηκότος θεοῦ κυβερνῶντος καὶ διοικοῦντος τὰ σύμπαντα.

Σχόλιον ἀπὸ φωνῆς Συμεὼν μονάχου τοῦ χρυσογράφου εἰς τὰ προκείμενα δύο κανόνια περὶ σει-

1) Aristot. meteor. II 8, 31. Plin. II 195. 2) Aristot. meteor. II 8, 28; Plin. II 196. 3) Aristot. meteor. II 8, 37; Plin. II 193.

cμῶν[1]). τὸν ἀcτέρα τὸν κύριον τῆc προγενομένηc cυνόδου ἢ πανcελήνου ἐπιcκόπει καὶ τὸ πλάτοc αὐτοῦ εἴτε βόρειόν ἐcτιν ἢ νότιον, καὶ ἐπὶ ποίου βαθμοῦ τοῦ πλάτουc ἕcτηκεν ὁ ἀcτὴρ, καὶ ταῦτα ἐφευρίcκων εἰcέρχου τὰ προκείμενα κανόνια καὶ ἀναψηλαφῶν τὸ ζώδιον ἐν ᾧ ὁ κύριοc τῆc cυζυγίαc ἔτυχεν, ἀποφαίνου.

1) cf. Leo Allatius de Symeonibus. Paris. 1664 p. 194; Fabric. bibl. Graec. vol. XI p. 296 ed. Harles; idem enim scholion extat in codicibus Regiis 1991 et 2137.

# CALENDARIA GRAECA

## QVAE EXTANT

## OMNIA

173

# ANONYMI CALENDARIVM

## GEMINI ISAGOGES LIBRO

### IN FINE ADNEXVM

Codicum discrepantiae, quas attuli, petitae sunt ex Vranologio Petavii, qui Geminum post Edonem Hildericum edidit „ad veterum manuscriptorum fidem exacte castigatum". de codicibus ipse narrat praefat. fol. IIII: „e codicibus unum penes nos habebamus haud adeo veterem, sed accuratum ac scriptum inprimis eleganter. alter in Oxoniensi bibliotheca reperitur, quocum editionem Hilderici diligenter contulit Henricus Briggius, Oxoniensis mathematicus, a quo id meo nomine postularat Lucas Holstenius . . . . utriusque ope ac beneficio variarum lectionum indiculum accepimus, quas paucis exceptis totidem in nostro codice deprehendimus. quamobrem quicquid in nova hac editione Gemini aliter atque in priore offenderis, id ex amborum auctoritate et consensu immutatum esse scias." Halma, qui tertius Geminum edidit, nullum codicem excussit in hoc calendario (cf. Halma, *discours préliminaire sur la chronologie* etc. p. X).

## [ΑΝΩΝΥΜΟΥ ΠΑΡΑΠΗΓΜΑ]

(ed. Petav.)

Χρόνοι τῶν ζωδίων, ἐν οἷς ἕκαστον αὐτῶν ὁ ἥλιος διαπορεύεται καὶ αἱ καθ᾽ ἕκαστον ζώδιον γινόμεναι ἐπισημασίαι αἱ ὑπογεγραμμέναι εἰσίν. ἀρξώμεθα δὲ ἀπὸ θερινῆς τροπῆς. p. 64 C

### ΚΑΡΚΙΝΟΝ διαπορεύεται ὁ ἥλιος ἐν ἡμέραις λα΄.

Ἐν δὲ τῇ α̅ ἡμέρᾳ Καλλίππῳ καρκίνος ἄρχεται ἀνατέλλειν, τροπαὶ θεριναὶ καὶ ἐπισημαίνει.

ἐν δὲ τῇ θ̅ ἡμέρᾳ Εὐδόξῳ νότος πνεῖ. D

ἐν δὲ τῇ ι̅α̅ ἡμέρᾳ Εὐδόξῳ ὠρίων ἑῷος ὅλος ἐπιτέλλει.

ἐν δὲ τῇ ι̅γ̅ ἡμέρᾳ Εὐκτήμονι ὠρίων ὅλος ἐπιτέλλει.

ἐν δὲ τῇ ι̅ϛ̅ Δοσιθέῳ στέφανος ἑῷος ἄρχεται δύνειν.

ἐν δὲ τῇ κ̅γ̅ Δοσιθέῳ ἐν Αἰγύπτῳ κύων ἐκφανὴς γίνεται.

ἐν δὲ τῇ κ̅ε̅ Μέτωνι κύων ἐπιτέλλει ἑῷος.

ἐν δὲ τῇ κ̅ζ̅ Εὐκτήμονι κύων ἐπιτέλλει. Εὐδόξῳ κύων ἑῷος ἐπιτέλλει, καὶ τὰς ἑπομένας ἡμέρας νε΄ E

v. 6 = 27 Iun. — 27 Iul. || v. 7 = 27 Iun. || v. 10 = 5 Iul. || v. 11 = 7 Iul. || ἑῷος ὅλος] sic edit. Hilder., ὅλος om. Petav., quo nisus ὅλος pro ἑῷος corrigi iubet Pontedera antiquit. p. 200. || v. 13 = 9 Iul. || v. 15 = 12 Iul. || v. 19 = 21 Iul. || v. 20 = 23 Iul. || v. 21 νε΄] sic edit. Hilder., ε΄ al. cod. ||

ἐτηϲίαι πνέουϲιν· αἱ δὲ πέντε αἱ πρῶται πρόδρομοι καλοῦνται. Καλλίππῳ καρκίνοϲ λήγει ἀνατέλλων πνευματώδηϲ.

ἐν δὲ τῇ κ̅η̅ Εὐκτήμονι ἀετὸϲ ἑῷοϲ δύνει· χειμὼν κατὰ θάλαϲϲαν ἐπιγίνεται.

ἐν δὲ τῇ λ̅ Καλλίππῳ λέων ἄρχεται ἀνατέλλειν· νότοϲ πνεῖ καὶ κύων ἀνατέλλων φανερὸϲ γίνεται.

ἐν δὲ τῇ λ̅α̅ Εὐδόξῳ νότοϲ πνεῖ.

## Ὁ ἥλιοϲ τὸν ΛΕΟΝΤΑ διαπορεύεται ἐν ἡμέραιϲ λα΄.

65 A Ἐν μὲν οὖν τῇ α̅ ἡμέρᾳ Εὐκτήμονι κύων μὲν ἐκφανήϲ, πνῖγοϲ δὲ ἐπιγίνεται, ἐπιϲημαίνει.

ἐν δὲ τῇ ε̅ Εὐδόξῳ ἀετὸϲ ἑῷοϲ δύνει.

ἐν δὲ τῇ ι̅ ἡμέρᾳ Εὐδόξῳ ϲτέφανοϲ δύνει.

ἐν δὲ τῇ ι̅β̅ Καλλίππῳ λέων μέϲοϲ ἀνατέλλων πνίγη μάλιϲτα ποιεῖ.

ἐν δὲ τῇ ι̅δ̅ Εὐκτήμονι πνίγη μάλιϲτα γίνεται.

ἐν δὲ τῇ ι̅ϛ̅ ἡμέρᾳ Εὐδόξῳ ἐπιϲημαίνει.

ἐν δὲ τῇ ι̅ζ̅ Εὐκτήμονι λύρα δύεται καὶ ἔτι ὕει καὶ ἐτηϲίαι παύονται καὶ ἵπποϲ ἐπιτέλλει.

B ἐν δὲ τῇ ι̅η̅ Εὐδόξῳ δελφὶϲ ἑῷοϲ δύνει. Δοϲιθέῳ προτυγητὴρ ἀκρόνυχοϲ ἐπιτέλλει.

ἐν δὲ τῇ κ̅β̅ Εὐδόξῳ λύρα ἑῷοϲ δύνει καὶ ἐπιϲημαίνει.

v. 2 λήγει] corr. Pontedera l. s. p. 258 et Pfaff de ort. et occas. sider. p. 81 not. pro δύνει || v. 4 = 24 Iul. || v. 6 = 26 Iul. || v. 8 = 27 Iul. || v. 9 = 28 Iul. — 27 August. || v. 11 = 28 Iul. || v. 13 = 1 August. || v. 14 = 6 August. || v. 15 = 8 August. || v. 17 = 10 August. || v. 18 = 12 August. || v. 19 = 13 August. || v. 21 = 14 August. || v. 23 = 18 August. ||

ἐν δὲ τῇ κθ Εὐδόξῳ ἐπισημαίνει. Καλλίππῳ παρθένος ἐπιτέλλει, ἐπισημαίνει.

Τὴν δὲ ΠΑΡΘΕΝΟΝ διαπορεύεται ὁ ἥλιος ἐν ἡμέραις λ′.

Ἐν μὲν οὖν τῇ ε ἡμέρᾳ Εὐδόξῳ ἄνεμος μέγας πνεῖ καὶ ἐπιβροντᾷ, Καλλίππῳ δὲ οἱ ὦμοι τῆς παρθένου ἐπιτέλλουσιν, καὶ ἐτησίαι παύονται.

ἐν δὲ τῇ ι ἡμέρᾳ Εὐκτήμονι προτρυγητὴρ φαίνεται, C ἐπιτέλλει δὲ καὶ ἀρκτοῦρος, καὶ οἰστὸς δύεται ὄρθρου· χειμὼν κατὰ θάλασσαν. Εὐδόξῳ ὑετός, βρονταί, ἄνεμος μέγας πνεῖ.

ἐν δὲ τῇ ιζ Καλλίππῳ παρθένος μέση ἐπιτέλλουσα ἐπισημαίνει καὶ ἀρκτοῦρος ἀνατέλλων φανερός.

ἐν δὲ τῇ ιθ Εὐδόξῳ ἀρκτοῦρος ἑῷος ἐπιτέλλει, καὶ τὰς ἑπομένας ἡμέρας ζ′ ἄνεμοι πνέουσιν· εὐδία ὡς τὰ πολλά, λήγοντος δὲ τοῦ χρόνου ἀπ' ἠοῦς D πνεῦμα γίνεται.

ἐν δὲ τῇ κ ἀρκτοῦρος Εὐκτήμονι ἐκφανής· μετοπώρου ἀρχή, καὶ αἲξ ἐπιτέλλει [[ἀστὴρ μέγας ἐπὶ τοῦ ἡνιόχου]] κἄπειτα ἐπισημαίνει· χειμὼν κατὰ θάλασσαν.

ἐν δὲ τῇ κδ ἡμέρᾳ Καλλίππῳ στάχυς ἐπιτέλλει τῆς παρθένου.

v. 1 = 25 August. || v. 3 = 28 August. — 26 Septemb. || v. 5 = 1 Septemb. || v. 7 παύονται] sic corr. Boeckh *Sonnenkreise der Alten* p. 400, πνέουσι Petav., λήγονται ed. Hilderic. || v. 8 = 6 Septemb. || v. 10 βρονταί] βροντᾷ al. cod. || v. 12 = 13 Septemb. || v. 15 = 15 Septemb. || v. 19 = 16 Septemb. || v. 20 ἀστὴρ — ἡνιόχου (v. 21)] superfluum librarii additamentum (cf. Pontedera l. s. p. 215) uncis inclusi. || v. 22 = 20 Septemb. ||

## Τὸν δὲ ΖΥΓΟΝ διαπορεύεται ὁ ἥλιος ἐν ἡμέραις λ'.

Ἐν δὲ τῇ πρώτῃ ἡμέρᾳ Εὐκτήμονι ἰcημερία μετοπωρινή, καὶ ἐπιcημαίνει. Καλλίππῳ ὁ κριὸc ἄρχεται δύνειν, ἰcημερία μετοπωρινή.

-E ἐν δὲ τῇ γ̄, Εὐκτήμονι ἔριφοι ἐπιτέλλουcιν ἑcπέριοι, χειμαίνει.

ἐν δὲ τῇ δ̄, Εὐδόξῳ αἶξ ἀκρόνυχοc ἐπιτέλλει.

ἐν δὲ τῇ ε̄, Εὐκτήμονι πλειάδεc ἑcπέριαι φαίνονται ἐκ τοῦ πρὸc ἕω. Καλλίππῳ παρθένοc λήγει ἀνατέλλουcα.

ἐν δὲ τῇ ζ̄ ἡμέρᾳ Εὐκτήμονι cτέφανοc ἀνατέλλει· χειμαίνει.

ἐν δὲ τῇ η̄, Εὐδόξῳ πλειάδεc ἐπιτέλλουcι.

ἐν δὲ τῇ ῑ Εὐδόξῳ * ἑῷοc ἐπιτέλλει.

66 A ἐν δὲ τῇ ιβ̄ ἡμέρα Εὐδόξῳ cκορπίοc ἀκρόνυχοc ἄρχεται δύνειν, καὶ χειμὼν ἐπιγίνεται· καὶ ἄνεμοc μέγαc πνεῖ.

ἐν δὲ τῇ ιζ̄ Εὐδόξῳ cκορπίοc ὅλοc ἀκρόνυχοc, αἶξ ὅλωc δύνει. Καλλίππῳ χηλαὶ ἄρχονται ἀνατέλλειν, ἐπιcημαίνουcιν.

ἐν δὲ τῇ ιθ̄ Εὐδόξῳ βορέαι καὶ νότοι πνέουcιν.

v. 1 = 27 Septemb. — 26 Octob. || v. 3 = 27 Septemb. || v. 6 = 29 Septemb. || v. 8 = 30 Septemb. || v. 9 = 1 Octob. || v. 12 = 3 Octob. || v. 14 = 4 Octob. || v. 15 = 6 Octob. || in lacuna Pontedera l. s. p. 202 cτέφανοc addi volt. || v. 16 = 8 Octob. || v. 19 = 13 Octob. || post ἀκρόνυχοc poni iubet Pontedera l. s. p. 202 id quod statim sequitur δύνει. || v. 20 vel αἶξ ὅλωc in ἡνίοχοc vel δύνει in ἐπιτέλλει mutandum esse putat Pontedera l. s. p. 202 || v. 22 = 15 Octob. ||

ἐν δὲ τῇ κβ Εὐδόξῳ ὑάδες ἀκρόνυχοι ἐπιτέλλουσιν.

ἐν δὲ τῇ κη Καλλίππῳ τοῦ ταύρου ἡ κέρκος δύ- B νει, ἐπισημαίνει.

ἐν δὲ τῇ κθ Εὐδόξῳ βορέας καὶ νότος πνέουσιν.

ἐν δὲ τῇ λ Εὐκτήμονι χειμὼν κατὰ θάλασσαν πολύς.

## Τὸν δὲ ΣΚΟΡΠΙΟΝ ὁ ἥλιος διαπορεύεται ἐν ἡμέραις λ'.

Ἐν μὲν οὖν τῇ τρίτῃ Δοσιθέῳ χειμαίνει.

ἐν δὲ τῇ δ ἡμέρᾳ Δημοκρίτῳ πλειάδες δύνουσιν ἅμα ἠοῖ· ἄνεμοι χειμέριοι ὡς τὰ πολλά, καὶ ψύχη, ἤδη καὶ πάχνη. ἐπιπνεῖν φιλεῖ· φυλλορροεῖν ἄρχεται C τὰ δένδρα μάλιστα. Καλλίππῳ τοῦ σκορπίου τὸ μέτωπον ἐπιτέλλει πνευματῶδες.

ἐν δὲ τῇ ε Εὐκτήμονι ἀρκτοῦρος ἑσπέριος δύεται, καὶ ἄνεμοι μεγάλοι πνέουσιν.

ἐν δὲ τῇ η Εὐδόξῳ ἀρκτοῦρος ἀκρόνυχος δύνει, καὶ ἐπισημαίνει, καὶ ἄνεμος πνεῖ.

ἐν δὲ τῇ θ Καλλίππῳ τοῦ ταύρου δύνει κεφαλὴ ἑῴα, ὑετοί.

ἐν δὲ τῇ ι Εὐκτήμονι λύρα ἑῷος ἐπιτέλλει, καὶ D ἐπιχειμάζεται ὑετῷ.

**v. 1 = 18 Octob. || v. 3 = 24 Octob. || ἡ add. Hercher coll. p. 186, 10 || v. 5 = 25 Octob. || v. 6 = 26 Octob. || v. 8 27 Octob. — 25 Novemb. || v. 10 = 29 Octob. || v. 11 = 30 Octob. || v. 15 πνευματώδη al. cod. || v. 16 = 31 Octob. || v. 18 = 3 Novemb. || post ἀκρόνυχος ed. Hilderic. πρωίας, Petav. πρῳίας addunt, quod Scaliger in πρώϊος mutavit sed optimo iure delevit Pfaff l. s. p. 81 (cf. Boeckh l. s. p. 215). || v. 20 = 4 Novemb. || v. 21 ἑῴα, ὑετοί] ὑετοσιᾶι al. cod. || v. 22 = 5 Novemb. ||**

ἐν δὲ τῇ ιβ Εὐδόξῳ ὠρίων ἀκρόνυχος ἄρχεται ἐπιτέλλειν.

ἐν δὲ τῇ ιγ Δημοκρίτῳ λύρα ἐπιβάλλει ἅμα ἡλίῳ ἀνίσχοντι· καὶ ὁ ἀὴρ χειμέριος γίνεται ὡς ἐπὶ τὰ πολλά.

ἐν δὲ τῇ ιδ Εὐδόξῳ ὑετία.

ἐν δὲ τῇ ιε Εὐκτήμονι πλειάδες δύνουσι, καὶ ἐπισημαίνει, καὶ ὠρίων ἄρχεται [δύνειν· καὶ ἀρχομένῳ] καὶ μεσοῦντι καὶ λήγοντι ἐπιχειμάζει.

E ἐν δὲ τῇ ις Καλλίππῳ ὁ ἐν τῷ σκορπίῳ λαμπρὸς ἀστὴρ ἀνατέλλει, ἐπισημαίνει· καὶ πλειάδες δύνουσι φανεραί.

ἐν δὲ τῇ ιη Εὐδόξῳ σκορπίος ἄρχεται ἐπιτέλλειν ἑῷος.

ἐν δὲ τῇ ιθ Εὐδόξῳ πλειάδες ἑῷαι δύνουσι, καὶ ὠρίων ἄρχεται δύνειν, καὶ χειμάζει.

ἐν δὲ τῇ κα Εὐδόξῳ λύρα ἑῷος ἐπιτέλλει.

ἐν δὲ τῇ κζ Εὐκτήμονι ὑάδες δύνονται· καὶ ἔτι ὕει.

67 A ἐν δὲ τῇ κη Καλλίππῳ τοῦ ταύρου τὰ κέρατα δύεται· ὑετία.

ἐν δὲ τῇ κθ Εὐδόξῳ ὑάδες δύνουσι, καὶ χειμαίνει σφόδρα.

v. 1 = 7 Novemb. || v. 3 = 8 Novemb. || v. 6 = 9 Novemb. || v. 7 = 10 Novemb. || v. 8 δύνειν καὶ ἀρχομένῳ] add. Boeckh l. s. p. 408 || v. 9 ἐπιχειμάζει corr. Boeckh l. s. pro ἐπιχειμάζειν || v. 10 = 11 Novemb. || v. 13 = 13 Novemb. || v. 15 = 14 Novemb. || v. 17 = 16 Novemb. || v. 18 = 22 Novemb. || v. 20 = 23 Novemb. || v. 22 = 24 Novemb. ||

Τὸν δὲ ΤΟΞΟΤΗΝ ὁ ἥλιος διαπορεύεται ἐν ἡμέραις κθ΄.

Ἐν μὲν οὖν τῇ ἑβδόμῃ Εὐκτήμονι κύων δύεται, καὶ ἐπιχειμάζει. Καλλίππῳ ὁ τοξότης ἄρχεται ἀνατέλλειν· καὶ ὠρίων δύνει φανερῶς· χειμαίνει.

ἐν δὲ τῇ η̅ Εὐδόξῳ ὠρίων ἑῷος δύνει.

ἐν δὲ τῇ ι̅ Εὐκτήμονι τοῦ σκορπίου τὸ κέντρον ἐπιτέλλει. B

ἐν δὲ τῇ ιβ̅ Εὐδόξῳ κύων ἑῷος δύνει, χειμαίνει.

ἐν δὲ τῇ ιδ̅ Εὐδόξῳ ὑετός.

ἐν δὲ τῇ ιε̅ Εὐκτήμονι ἀετὸς ἐπιτέλλει, νότος πνεῖ.

ἐν δὲ τῇ ις̅ Δημοκρίτῳ ἀετὸς ἐπιτέλλει ἅμα ἡλίῳ, καὶ ἐπισημαίνειν φιλεῖ βροντῇ καὶ ἀστραπῇ καὶ ὕδατι ἢ ἀνέμῳ ἢ ἀμφότερα ὡς ἐπὶ τὰ πολλά. Εὐδόξῳ C κύων ἀκρόνυχος ἐπιτέλλει, καὶ ἔτι Καλλίππῳ οἱ δίδυμοι μετίασι δυόμενοι· νοτία.

ἐν δὲ τῇ ιθ̅ Εὐκτήμονι, Εὐδόξῳ * δύνει.

ἐν δὲ τῇ κα̅ Εὐδόξῳ σκορπίος ὅλος ἐπιτέλλει καὶ χειμαίνει.

v. 1 = 26 Novemb. — 24 Decemb. || v. 3 = 2 Decemb. || v. 5 δύνει] sic pro δύνειν corr. Boeckh l. s. p. XIII || v. 6 = 3 Decemb. || v. 7 = 5 Decemb. || v. 9 = 7 Decemb. || v. 10 = 9 Decemb. || v. 11 = 10 Decemb. || v. 13 = 11 Decemb. || v. 14 βροντῇ et ἀστραπῇ scripsi pro βροντὴν et ἀστραπὴν coll. Ptolem. calend. ad 26 Mesor. || καὶ] σὺν coni. Halma || v. 16 ἀκρόνυξ al. cod.; ea forma Eudoxum usum esse putat Boeckh l. s. p. 212 || ἔτι] sic corr. Halma pro ὅτι || v. 17 νότια al. cod. || v. 18 = 14 Decemb. || Εὐδόξῳ] αἶξ ἑῴα coni. Pontedera l. s. p. 217 || v. 19 = 16 Decemb. || ὅλος] corr. Pontedera l. s. p. 205 pro ἑῷος ||

ἐν δὲ τῇ κγ Εὐδόξῳ αἴξ ἑῴα δύνει.

ἐν δὲ τῇ κϛ Εὐδόξῳ ἀετὸς ἑῷος ἐπιτέλλει.

## Τὸν δὲ ΑΙΓΟΚΕΡΩΝ ὁ ἥλιος διαπορεύεται ἐν ἡμέραις κθ΄.

D Ἐν μὲν οὖν τῇ α ἡμέρᾳ Εὐκτήμονι τροπαὶ χειμεριναὶ ἐπισημαίνουσι. Καλλίππῳ τοξότης λήγει ἀνατέλλων, τροπαὶ χειμεριναί, χειμαίνει.

ἐν δὲ τῇ β Εὐκτήμονι δελφὶς ἐπιτέλλει, χειμαίνει.

ἐν δὲ τῇ δ Εὐδόξῳ τροπαὶ χειμεριναί, χειμαίνει.

ἐν δὲ τῇ ζ Εὐκτήμονι ἀετὸς ἑσπέριος δύεται, καὶ χειμαίνει.

ἐν δὲ τῇ θ Εὐδόξῳ στέφανος ἀκρόνυχος δύνει.

E ἐν δὲ τῇ ιβ Δημοκρίτῳ νότος πνεῖ ὡς ἐπὶ τὰ πολλά.

ἐν δὲ τῇ ιδ Εὐκτήμονι μέσος χειμών· νότος πολὺς ἐπιπνεῖ χειμερινὸς κατὰ θάλασσαν.

ἐν δὲ τῇ ιε Καλλίππῳ αἰγόκερως ἄρχεται ἀνατέλλειν, νότος.

ἐν δὲ τῇ ιϛ Εὐκτήμονι νότος χειμέριος κατὰ θάλασσαν.

v. 1 = 18 Decemb. || v. 2 = 21 Decemb. || v. 3 = 25 Decemb. — 22 Ianuar. || v. 5 = 25 Decemb. || v. 8 = 26 Decemb. || v. 10 = 28 Decemb. || v. 11 = 31 Decemb. || v. 13 = 2 Ianuar. || v. 14 = 5 Ianuar. || ὡς ἐπὶ τὰ πολλά] sic corr. Ascherson apud Boeckh. l. s. p. 251; ὡς ἐπιτέλλει edit. Hilderic., ***ως ἐπιτέλλει Petav., om. Halma; lacunam Petavii verbis δελφὶς ἑῷος explere conatur Pontedera l. s. p. 206. || v. 16 = 7 Ianuar. || v. 18 = 8 Ianuar. || v. 20 = 9 Ianuar. ||

ἐν δὲ τῇ ιη [Δοσιθέῳ] ἀκρόνυχος ἐπιδύνει ὁ 68A
:ρσεύς, καὶ νότος πνεῖ.

ἐν δὲ τῇ κζ Εὐκτήμονι δελφὶς ἑσπέριος δύνει. ιλλίππῳ καρκίνος λήγει δύνων· χειμαίνει.

ὸν δὲ ΥΔΡΟΧΟΟΝ διαπορεύεται ὁ ἥλιος ἐν ἡμέραις λ΄.

Ἐν μὲν οὖν τῇ β Καλλίππῳ λέων ἄρχεται δύ- ιν, ὑετία· Δημοκρίτῳ ἄλοχος χειμών.

ἐν δὲ τῇ δ ἡμέρᾳ Εὐδόξῳ δελφὶν ἀκρόνυχος B
ινει.

ἐν δὲ τῇ ια Εὐδόξῳ λύρα ἀκρόνυχος δύνει· τός.

ἐν δὲ τῇ ιδ Εὐδόξῳ εὐδία· ἐνίοτε καὶ ζέφυρος ιεῖ.

ἐν δὲ τῇ ις Δημοκρίτῳ ζέφυρος πνεῖν ἄρχεται, ὶ παραμένει ἡμέρας γ΄ καὶ μ΄ ἀπὸ τροπῶν.

ἐν δὲ τῇ ιζ Εὐκτήμονι ζέφυρον ὥρα πνεῖν. Καλ- ππῳ ὑδροχόος μέσος ἀνατέλλων, ζέφυρος πνεῖ.

ἐν δὲ τῇ κε Εὐκτήμονι * ἑσπέριος δύνει, καὶ C
ιόδρα ἐπιχειμάζει.

v. 1 = 11 Ianuar. || Δοσιθέῳ addidi, quod ἀκρόνυχος ce soli Eudoxus et Dositheus usi sunt, et Eudoxus ἐπι- νειν dixisse non videtur, cf. Boeckh l. s. p. 26 et 396 || 3 = 20 Ianuar. || v. 5 = 23 Ianuar. — 21 Februar. || 7 = 24 Ianuar. || v. 8 ἄλοχος] sic omnes codices; om. ılma; mutavit in γίνεται Mullach Democriti fragm. p. 2, in ἀλὸς Scaliger de emendat. tempor. IIII p. 255 edit. 1629, in ἄλογχος Boeckh l. s. p. 90 || v. 9 = 26 Ia- ar. || ἀκρόνυχος] Petav. in mrg. „γρ. ἀκρόνυξ ubique" || 11 = 2 Februar. || v. 13 = 5 Februar. || v. 15 = 7 Fe- ıar. || v. 17 = 8 Februar. || ζέφυρον ὥρα πνεῖν] sic edit. lder., ζέφυρος πνεῖ Petav. || v. 19 = 16 Februar. ||

## Τοὺς δὲ ΙΧΘΥΑΣ ὁ ἥλιος διαπορεύεται ἐν ἡμέραις λʹ.

Ἐν μὲν οὖν τῇ β̅ [Εὐκτήμονι] χελιδόνα ὥρα φαίνεσθαι, καὶ ὀρνιθίαι πνέουσιν. Καλλίππῳ δὲ λέων δύνων λήγει, καὶ χελιδὼν φαίνεται, ἐπισημαίνει.

ἐν δὲ τῇ δ̅ Δημοκρίτῳ ποικίλαι ἡμέραι γίνονται ἀλκυονίδες καλούμεναι. Εὐδόξῳ δὲ ἀρκτοῦρος ἀκρόνυχος ἐπιτέλλει, καὶ ὑετὸς γίνεται, καὶ χελιδὼν φαί-
D νεται· καὶ τὰς ἑπομένας ἡμέρας λʹ βορέαι πνέουσι, καὶ μάλιστα οἱ προορνιθίαι καλούμενοι.

ἐν δὲ τῇ ι̅β̅ Εὐκτήμονι ἀρκτοῦρος ἑσπέριος ἐπιτέλλει, καὶ προτρυγητὴρ ἐκφανής· ἐπιπνεῖ βορέας ψυχρός.

ἐν δὲ τῇ ι̅δ̅ Δημοκρίτῳ ἄνεμοι πνέουσι ψυχροί, οἱ ὀρνιθίαι καλούμενοι, ἡμέρας μάλιστα θʹ. Εὐκτήμονι δὲ ἵππος ἑῷος δύνει· ἐπιπνεῖ βορέας ψυχρός.

ἐν δὲ τῇ ι̅ζ̅ Εὐδόξῳ χειμαίνει, καὶ ἰκτῖνος φαί-
E νεται. Καλλίππῳ τῶν ἰχθύων ὁ νότιος ἐπιτέλλει, λήγει βορέας.

ἐν δὲ τῇ κ̅α̅ Εὐδόξῳ στέφανος ἀκρόνυχος ἐπιτέλλει, ἄρχονται ὀρνιθίαι πνέοντες.

ἐν δὲ τῇ κ̅β̅ Εὐκτήμονι ἰκτῖνος φείνεται, ὀρνιθίαι πνέουσι μέχρις ἰσημερίας.

v. 1 = 22 Februar. — 23 Mart. || v. 3 = 23 Februar. || Εὐκτήμονι] add. Boeckh l. s. p. 409 || v. 6 = 25 Februar. || v. 11 = 5 Mart. || v. 14 = 7 Mart. || v. 16 ἑῷος δύνει] ἐπιτέλλει coni. Pontedera l. s. p. 218, ἑσπέριος δύνει coni. Pfaff l. s. p. 81 not. || v. 17 = 10 Mart. || χειμαίνει] ἐπισημαίνει coni. Boeckh l. s. p. 397 || v. 18 νότιος] sic corr. Petavius, νότος vel ἄλοπος libri || v. 20 = 14 Mart. || v. 22 = 15 Mart. ||

ἐν δὲ τῇ κθ Εὐκτήμονι τοῦ σκορπίου οἱ πρῶτοι ἀστέρες δύνουσιν, ἐπιπνεῖ βορέας ψυχρός.

ἐν δὲ τῇ λ Καλλίππῳ τῶν ἰχθύων ὁ βόρειος ἐπιτέλλων λήγει, ἰκτῖνος φαίνεται, βορέας πνεῖ.

Τὸν δὲ ΚΡΙΟΝ διαπορεύεται ὁ ἥλιος ἐν 69 A
ἡμέραις λα′.

Ἐν μὲν τῇ πρώτῃ Καλλίππῳ σύνδεσμος τῶν ἰχθύων ἀνατέλλει, ἰσημερία ἐαρινὴ καὶ ψεκὰς λεπτή· * χειμαίνει σφόδρα, ἐπισημαίνει.

ἐν δὲ τῇ γ Καλλίππῳ κριὸς ἄρχεται ἐπιτέλλειν· ὑετὸς ἢ νιφετός.

ἐν δὲ τῇ ς Εὐδόξῳ ἰσημερία, ὑετὸς γίνεται.

ἐν δὲ τῇ ι Εὐκτήμονι πλειάδες ἑσπέριοι κρύπτονται.

ἐν δὲ τῇ ιγ Εὐδόξῳ πλειάδες ἀκρόνυχοι δύνουσι, B
καὶ ὠρίων ἄρχεται δύνειν ἀπὸ ἀκρονύχου· ὑετὸς γίνεται. Δημοκρίτῳ πλειάδες κρύπτονται ἅμα ἡλίῳ ἀνίσχοντι, καὶ ἀφανεῖς γίνονται νύκτας μ′.

ἐν δὲ τῇ κα Εὐδόξῳ ὑάδες ἀκρόνυχοι δύνουσιν.

ἐν δὲ τῇ κγ Εὐκτήμονι ὑάδες κρύπτονται, καὶ χάλαζα ἐπιγίνεται, καὶ ζέφυρος πνεῖ. Καλλίππῳ ζυγὸς ἄρχεται δύνειν, πολλαχῇ δὲ καὶ χάλαζα.

ἐν δὲ τῇ κζ Εὐδόξῳ λύρα ἀκρόνυχος ἐπιτέλλει. C

**v. 1 = 22 Mart. || v. 3 = 23 Mart. || v. 5 = 24 Mart. — 23 April. || v. 7 = 4 Mart. || v. 9 ante χειμαίνει nomen intercidisse putat Boeckh l. s. p. 403 || v. 10 = 26 Mart. || v. 12 = 29 Mart. || v. 13 = 2 April. || v. 15 = 5 April. || v. 19 = 13 April. || v. 20 = 15 April. || v. 21 Boeckh l. s. p. 174 nescit an Callippus ipse potius χηλαὶ quam Ζυγὸς scripserit. || v. 22 ὑετία ante πολλαχῇ addi volt Boeckh l. s. p. 404 || v. 23 = 19 April. ||**

Τὸν δὲ ΤΑΥΡΟΝ διαπορεύεται ὁ ἥλιος ἐν ἡμέραις λβ′.

Ἐν μὲν οὖν τῇ α̅ ἡμέρᾳ Εὐδόξῳ ὠρίων ἀκρόνυχος δύνει, ὑετία. Καλλίππῳ ὁ κριὸς λήγει ἐπιτέλλων· ὑετία, πολλαχῇ δὲ καὶ χάλαζα.

ἐν δὲ τῇ β̅ Εὐκτήμονι κύων κρύπτεται, καὶ χάλαζα γίνεται.

ἐν δὲ τῇ δ̅ [Εὐκτήμονι] λύρα ἐπιτέλλει. Εὐδόξῳ κύων ἀκρόνυχος δύνει, καὶ ὑετὸς γίνεται. Καλλίππῳ τοῦ ταύρου ἡ κέρκος ἐπιτέλλει, νοτία.

D ἐν δὲ τῇ ζ̅ Εὐδόξῳ ὑετὸς γίνεται.

ἐν δὲ τῇ η̅ Εὐκτήμονι αἲξ ἑῴα ἀνατέλλει· εὐδία· ὕει νοτίῳ ὕδατι.

ἐν δὲ τῇ θ̅ Εὐδόξῳ αἲξ ἑῴα ἐπιτέλλει.

ἐν δὲ τῇ ι̅α̅ Εὐδόξῳ σκορπίος ἑῷος δύνειν ἄρχεται, καὶ ὑετὸς γίνεται.

ἐν δὲ τῇ ι̅γ̅ Εὐκτήμονι πλειὰς ἐπιτέλλει, θέρους ἀρχή, καὶ ἐπισημαίνει. Καλλίππῳ ἡ τοῦ ταύρου κεφαλὴ ἐπιτέλλει, ἐπισημαίνει.

E ἐν δὲ τῇ μιᾷ καὶ εἰκάδι Εὐδόξῳ σκορπίος ἑῷος ὅλος δύνει.

v. 1 = 24 April. — 25 Mai. || v. 3 = 24 April. || v. 6 = 25 April. || v. 8 = 27 April. || ἐν δὲ τῇ δ̅ Εὐκτήμονι] sic scripsit Boeckh l. s. p. 219; τῇ δ' αὐτῇ Petav., καὶ αὐτὸ al. cod.; τῇ δ̅ αὐτοῦ coni. Pontedera p. 208 || v. 11 = 30 April. || v. 12 = 1 Mai. || v. 13 ὕει νοτίῳ ὕδατι] sic coni. Boeckh l. s. p. 411 pro ὕει νότῳ ὑδάτι; an σημαίνει νότῳ ὕδατι? cum constet σημαίνει et ὕει voces sexcentiens inter se permutata esse in codice Ptolemaei, quo Bonaventura usus est; ἢ ὕει νότῳ ὕδατι coni. Pontedera l. s. p. 219. || v. 14 = 2 Mai. || v. 15 = 4 Mai. || v. 17 = 6 Mai. || v. 20 = 14 Mai. ||

ἐν δὲ τῇ κβ Εὐδόξῳ πλειάδες ἐπιτέλλουσι, καὶ ιισημαίνουσι.

ἐν δὲ τῇ κε Εὐκτήμονι ἀετὸς ἑσπέριος δύνει.

ἐν δὲ τῇ λ Εὐκτήμονι * ἑσπέριος ἐπιτέλλει.

ἐν δὲ τῇ λα Εὐκτήμονι ἀετὸς ἑσπέριος ἐπιτέλλει.

ἐν δὲ τῇ λβ Εὐκτήμονι ἀρκτοῦρος ἑῷος δύνει, ισημαίνει. Καλλίππῳ ὁ ταῦρος λήγει ἀνατέλλων. ικτήμονι ὑάδες ἑῷαι ἐπιτέλλουσιν, ἐπισημαίνουσι.

οὺς δὲ ΔΙΔΥΜΟΥΣ ὁ ἥλιος διαπορεύεται ἐν ἡμέραις λβ'.

Ἐν μὲν οὖν τῇ β Καλλίππῳ οἱ δίδυμοι ἄρχονται ιτέλλειν· νοτία.

ἐν δὲ τῇ ε Εὐδόξῳ ὑάδες ἑῷαι ἐπιτέλλουσιν. 70 A

ἐν δὲ τῇ ζ Εὐδόξῳ ἀετὸς ἀκρόνυχος ἐπιτέλλει.

ἐν δὲ τῇ ι Δημοκρίτῳ ὕδωρ γίνεται.

ἐν δὲ τῇ ιγ Εὐδόξῳ ἀρκτοῦρος ἑῷος δύνει.

ἐν δὲ τῇ ιη Εὐδόξῳ δελφὶς ἀκρόνυχος ἐπιτέλλει.

ἐν δὲ τῇ κδ Εὐκτήμονι ὠρίωνος ὦμος ἐπιτέλλει. ιδόξῳ ὠρίων ἄρχεται ἐπιτέλλειν.

ἐν δὲ τῇ κθ Δημοκρίτῳ ἄρχεται ὠρίων ἐπιτέλλιν, καὶ φιλεῖ ἐπισημαίνειν ἐπ' αὐτῷ.

v. 1 = 15 Mai. || v. 3 = 18 Mai. || v. 4 = 23 Mai. || 5 = 24 Mai. || v. 6 = 25 Mai. || v. 8 ἑῷαι] sic corr. Pevius auctar. op. de doctr. temp. p. 91 edit. 1630 pro πέριαι || v. 9 = 26 Mai. — 26 Iun. || v. 11 = 27 Mai. || 13 = 30 Mai. || v. 14 = 1 Iun. || v. 15 = 4 Iun. || v. 16 7 Iun. || v. 17 = 12 Iun. || v. 18 = 18 Iun. || v. 20 = Iun. ||

# CLAVDII PTOLEMAEI

## INERRANTIVM STELLARVM APPARITIONES

ET

## SIGNIFICATIONVM COLLECTIO

B = interpretatio latina Bonaventurae.
P = editio princeps Graeca in Petavii Vranologio.
R = codex Regius Parisinus 2390 ab Halma inspectus.
S = codex Savilianus Oxoniensis, cuius apographum ab Io. Frid. Wincklero descriptum nanctus Io. Al. Fabricius et ineditum prooemium edidit et lectionum discrepantias enotavit in bibliothecae Graecae (edit. pri.) volumine III p. 420 sq.
I. = Ideler in dissertatione „*ueber den Kalender des Ptolemaeus*" actis academ. Berolin. 1816/17 p. 163 sq. inserta.
H. = Halmae editio in libro „table chronologique des règnes etc." Paris. 1819.

---

Vt Ptolemaei descriptionem secundum Aegyptiorum morem institutam calendario Iuliano accomodes, hac utere computatione:

| | | | |
|---|---|---|---|
| 1. Thoth | = 29. Augustus | 1. September | = 4. Thoth |
| 1. Phaophi | = 28. September | 1. October | = 4. Phaophi |
| 1. Athyr | = 28. October | 1. November | = 5. Athyr |
| 1. Choeak | = 27. November | 1. December | = 5. Choeak |
| 1. Tybi | = 27. December | 1. Ianuarius | = 6. Tybi |
| 1. Mechir | = 26. Ianuarius | 1. Februarius | = 7. Mechir |
| 1. Phamenoth | = 25. Februarius | 1. Martius | = 5. Phamenoth |
| 1. Pharmuthi | = 27. Martius | 1. Aprilis | = 6. Pharmuthi |
| 1. Pachon | = 26. Aprilis | 1. Maius | = 6. Pachon |
| 1. Payni | = 26. Maius | 1. Iunius | = 7. Payni |
| 1. Epiphi | = 25. Iunius | 1. Iulius | = 7. Epiphi |
| 1. Mesori | = 25. Iulius | 1. Augustus | = 8. Mesori |
| 1. dies intercalaris | = 24. Augustus | | |

p. 421 (ed. Fabric.)

# ΚΛΑΥΔΙΟΥ ΠΤΟΛΕΜΑΙΟΥ

# ΦΑϹΕΙϹ ΑΠΛΑΝΩΝ ΑϹΤΕΡΩΝ
# ΚΑΙ
# ϹΥΝΑΓΩΓΗ ΕΠΙϹΗΜΑϹΙΩΝ

## [ΠΡΟΟΙΜΙΟΝ]

Ὁπόϲαι μὲν οὖν ϲυνίϲτανται περὶ τὰϲ φάϲειϲ ῶν ἀπλανῶν διαφοραί, καὶ περὶ τίναϲ αἰτίαϲ, ἔτι ὲ ποίαϲ ὀφείλομεν ὑποτίθεϲθαι τηρήϲειϲ πρὸϲ τὰϲ ῶν κατὰ μέροϲ ἀποδείξειϲ, καὶ διὰ τίνων θεωρημά- ων τὰ λοιπὰ μεθοδεύειν, τουτ' ἔϲτι ποίαιϲ τε τοῦ ιὰ μέϲων τῶν ζωδίων κύκλου μοίραιϲ ἕκαϲτοϲ τῶν πιζητουμένων ϲυμμεϲουρανούντων τε πανταχῇ καὶ υναντέλλει καὶ ϲυγκαταδύνει καθ' ἑκάϲτην τῶν οἰ- ήϲεων· ἔτι τε πηλίκαϲ τὸν ἥλιον ἐπὶ τῶν φάϲεων πέχειν ὑπὸ γῆν περιφερείαϲ ἐπί τε τοῦ γραφομέ- ου μεγίϲτου κύκλου καὶ ἐπὶ τοῦ διὰ μέϲων, καὶ όϲαϲ ἀπέχειν αὐτοῦ μοίραϲ, ἀφ' ὧν οἱ καθ' ἕκα- τον χρόνοι ϲυνίϲτανται, διὰ μακροτέρου ἐν τῇ κατ' ίαν ϲυντάξει τῆϲδε τῆϲ πραγματείαϲ ἐφωδεύϲαμεν,

ΠΡΟΟΙΜΙΟΝ add. H. || v. 11 μέϲων H., μέϲον *S*, *me- ium B* || μοίραιϲ scripsi, μοιρῶν *S*, *partibus B*, μοίραϲ H. || . 12 ϲυμμεϲουρανοίων *S* || v. 13 ἕκαϲτον *S* || v. 14 διὰ ante ὸν add. *S* || v. 16 μέϲον *S*, *medium signorum B* || *omnesque ostus * partes B* i. e. καὶ ἁπάϲαϲ αὐτοῦ * μοίραϲ, et deesse erbum insolitis notis scriptum Bonaventura p. 73 dicit, robabiliter ἀπαριθμεῖν id quod Al. Lollinus coniecerit || . 18 κατ' ἰδίαν scripsi pro κατιδίᾳ || v. 19 cod. τῆϲ δὲ ||

προεκθέμενοι τὰς εἰρημένας πάσας καθ' ἕκαστον κλίμα τῶν διαφορῶν πηλικότητας τῶν ποιουμένων ἀνατολὰς καὶ δύσεις πρώτου καὶ δευτέρου μεγέθους ἀπλανῶν ἀστέρων ἐν τοῖς ὑποθεμένοις ἡμῖν ἐν κλίμασι τοῖς περὶ τὸν μέσον μάλιστα τῆς καθ' ἡμᾶς οἰκουμένης ἡμιωρίῳ διαφέρουσιν ἀλλήλων. ὧν πρῶτον μὲν ὡς ἀπὸ μεσημβρίας λαμβάνομεν τὸν γραφόμενον διὰ Συήνης καὶ Βερενίκης, καὶ καθόλου διὰ τούτων τῶν τόπων ἐν οἷς ἡ μεγίστη τῶν ἡμερῶν
423 ὡρῶν ι̅γ̅ 𐅵″ ἐστιν ἰσημερινῶν. δεύτερον δὲ τὸν γραφόμενον διὰ τῆς κάτω Αἰγύπτου, τὸν καὶ μικρῷ νοτιώτερον Ἀλεξανδρείας τε καὶ Κυρήνης, καὶ καθόλου διὰ τούτων τῶν τόπων ἐν οἷς ἡ μεγίστη τῶν ἡμερῶν ι̅δ̅ ὡρῶν ἐστιν ἰσημερινῶν. τρίτον δὲ κλίμα τὸν γραφόμενον διὰ Ῥόδου, καὶ καθόλου διὰ τούτων τῶν τόπων ἐν οἷς ἡ μεγίστη τῶν ἡμερῶν ι̅δ̅ 𐅵″ ὡρῶν ἐστιν ἰσημερινῶν. τέταρτον δὲ κλίμα τὸν γραφόμενον διὰ μέσου Ἑλλησπόντου, καὶ καθόλου διὰ τούτων τῶν τόπων ἐν οἷς ἡ μεγίστη τῶν ἡμερῶν ὡρῶν ἐστιν ἰσημερινῶν ι̅ε̅. πέμπτον δὲ κλίμα τὸν γραφόμενον διὰ μέσου τοῦ πόντου, καὶ καθόλου διὰ τούτων τῶν τό-

v. 1 προεκθέμενοι] *addentes praeterea B* || v. 2 διαφόρων *S* || πηλικότητας H., πηλικοτέρας *S*, *modos B* || v. 5 περὶ τὸν μέσον μάλιστα] *circa partem B* || v. 8 καὶ Βερενίκης] om. *B* || v. 10 ἐστιν ἰσημερινῶν] om. *S* || v. 11 κάτω scripsi pro αἰλίου, *inferiorem B* || τὸν καὶ corr. Hercher pro καὶ τὸν coll. Ptolem. geogr. I 23, 4 || v. 12 Ἀλεξανδρείας τε καὶ] om. *B* || v. 14 ἐστὶν ὡρῶν *S* || v. 21 μέσου τοῦ πόντου] Κιλικίας καὶ Διέννης *S*, *per medium pontum B*, qui p. 65 dicit, adeo in hoc loco depravatum fuisse exemplum suum, ut nulla ratione locorum nomina intellegere potuerit; percensuisse tamen ea ex Almagest. lib. II c. 6; ex *B* Halma scripsit διὰ μέσου τοῦ πόντου. ||

πων, ἐν οἷς ἡ μεγίστη τῶν ἡμερῶν ὡρῶν ιε' ϛ'' ἐστὶν ἰσημερινῶν. αὐτοὺς δὲ τοὺς χρόνους τῶν φάσεων τοὺς τὸ τέλος εἰληφότας τῆς χρήσεως ὧν ἕνεκεν ἀναγκαῖον κἀκείνων ἁπάντων προδιεργάσασθαι τοὺς ἐπιλογισμούς, καὶ μέχρι μόνων τῶν ἐπισημοτέρων λαμπρῶν ἀστέρων μετὰ τῶν τετηρημένων τοῖς πρὸ ἡμῶν ἐπὶ ταῖς φάσεσιν ἐπισημασιῶν, ἐνταῦθα τοῦ προχείρου χάριν ἐκθησόμεθα, μικρὰ προδιελθόντες περὶ τῶν φάσεων αὐτῶν καὶ τῆς χρήσεως τῶν ἐπὶ μέρους παρατηρήσεων.

2. Φάσιν μὲν δὴ καλοῦμεν ἀπλανοῦς ἀστέρος τὸν πρὸς ἥλιον καὶ τὸν ὁρίζοντα λαμβανόμενον αὐτοῦ σχηματισμὸν τὸν πρῶτον ἢ ἔσχατον τῶν φαινομένων, παρ' ὃ καὶ τοιαύτης ἔτυχε προσηγορίας. τῶν δὲ τοῦτον τὸν τρόπον ὑποτιθεμένων σχηματισμῶν τέσσαρες αἱ γενικώτεραι συνίστανται διαφοραί, τοσαῦται γὰρ θέσεις μεταλαμβάνονται τοῦ τε ἡλίου καὶ τοῦ ἀστέρος πρὸς ἀλλήλους τε καὶ τὰ δύο τοῦ ὁρίζοντος ἡμικύκλια, τό τε πρὸς ἀνατολὰς καὶ τὸ πρὸς δυσμάς. σημαίνεται δὲ ἡ μὲν τῶν ἀστέρων καθ' ἑκάτερον τῶν ἡμικυκλίων θέσις κοινότερον ἀπό τε τῆς ἀνατολῆς καὶ δύσεως· ἡ δὲ τοῦ ἡλίου κατὰ τὸ τῶν ὑπ' αὐτοῦ δεικνυμένων χρόνων, ἴδιον ἀπό τε τῆς ἑῴας καὶ τῆς ἑσπερίας. διόπερ ὅταν μὲν καὶ τὸν ἀστέρα καὶ τὸν ἥλιον ἐπὶ τοῦ πρὸς ἀνατολὰς ἡμικυκλίου λαμβάνωμεν, τὸν τοιοῦτον σχηματισμὸν καλοῦμεν κοινῶς ἑῴαν ἀνατολήν. ὅταν δὲ ἀμφοτέρους πάλιν ἐπὶ τοῦ πρὸς δυσμάς, καὶ τοῦτον τὸν σχηματισμὸν καλοῦμεν ἑσπερίαν δύσιν. ἐναλλὰξ δὲ ἐχόν-

v. 3 ἕνεκεν ὧν H. || v. 24 post ἑσπερίας *B* add. *ortu atque occasu.* ||

των ὅταν μὲν τὸν ἀςτέρα νοῶμεν ἐπὶ τοῦ πρὸς ἀνατολὰς ἡμικυκλίου, καὶ τὸν ἥλιον ἐπὶ τοῦ πρὸς δυςμάς, οὗτος ὁ σχηματιςμὸς καλεῖται ἑςπερία ἀνατολή· ὅταν δὲ τὸν ἥλιον νοοῦμεν ἐπὶ τοῦ πρὸς ἀνατολὰς ἡμικυκλίου, καὶ τὸν ἀςτέρα ἐπὶ τοῦ πρὸς δυςμάς, καὶ τοῦτον τὸν σχηματιςμὸν καλοῦμεν ἑῴαν δύςιν.

3. Πάλιν δὴ καθ' ἕκαςτον τῶν ἐγκειμένων τεςςάρων σχηματιςμῶν δύο γίνονται πρῶται διαφοραί. τοὺς μὲν γὰρ αὐτῶν καλοῦμεν ἀληθινούς, τοὺς δὲ φαινομένους. καὶ κοινότερον ἀληθινοὶ μέν εἰςιν ὅςοι μὴ τὸν ἀςτέρα μόνον, ἀλλὰ καὶ τὸν ἥλιον ἔχωςι κατ' αὐτὸν ἀκριβῶς τὸν ὁρίζοντα· φαινόμενοι δὲ ὅςοι μὲν ἀςτέρα κατ' αὐτὸν τὸν ὁρίζοντα, τὸν δὲ ἥλιον ὑπὸ γῆν· οὐ μὴν οὕτως ἁπλῶς, ἀλλ' ἤτοι πρὸ τῆς ἀνατολῆς αὐτῆς, ἢ μετ' αὐτὴν τὴν δύςιν. ἰδιαίτερα δὲ καθ' ἕκαςτον τῶν σχηματιςμῶν ἑῴαν μὲν ἀνατολὴν ἀληθινὴν λέγουςιν, ὅταν ςυνανατέλλουςιν ὅ τε ἀςτὴρ καὶ ὁ ἥλιος· ἑςπερίαν δὲ ἀνατολὴν ἀληθῆ,
425 ὅταν ἅμα τῷ ἡλίῳ δύνοντι ὁ ἀςτὴρ ἀνατέλλῃ, ἑῴαν δὲ δύςιν ἀληθῆ, ὅταν ἅμα τῷ ἡλίῳ ἀνατέλλοντι ὁ ἀςτὴρ δύνῃ· ἑςπερίαν δὲ δύςιν ἀληθῆ, ὅταν ςυγκαταδύνωςιν ὅ τε ἀςτὴρ καὶ ὁ ἥλιος. πάλιν δ' αὖ ἑῴαν ἀνατολὴν φαινομένην, ὅταν πρὸ τῆς ἀνατολῆς τοῦ ἡλίου καὶ ὁ ἀςτὴρ ἀνατέλλων φαίνηται· ἑςπερίαν δὲ ἀνατολὴν φαινομένην, ὅταν μετὰ τὴν τοῦ ἡλίου δύςιν ὁ ἀςτὴρ ἀνατέλλων φαίνηται· ἑῴαν δὲ δύςιν φαινομένην, ὅταν πρὸ τῆς ἀνατολῆς τοῦ ἡλίου ὁ ἀςτὴρ δύνων φαίνηται· ἑςπερίαν δὲ δύςιν φαινομένην, ὅταν μετὰ τὴν τοῦ ἡλίου δύςιν καὶ ὁ ἀςτὴρ δύνων φαίνηται.

v. 7 δὲ H. || v. 15 μετὰ ταύτην *S* ||

4. Ἐπὶ μὲν οὖν τῶν ἀληθινῶν ϲχηματιϲμῶν οὐ μόνουϲ τοὺϲ τῶν ἀϲτέρων, ἀλλὰ καὶ τοὺϲ τοῦ ἡλίου τόπουϲ θεωρεῖϲθαι ϲυμβέβηκεν, ἐπειδὴ καὶ οὗτοϲ κατ᾽ αὐτὸν ϲυνίϲταται τὸν ὁρίζοντα· ἐπὶ δὲ τῶν φαινομένων ἐφ᾽ ὅϲον οὕτωϲ ἁπλῶϲ αὐτοὺϲ ἀκούομεν, οὐκέτι καὶ τοὺϲ τοῦ ἡλίου τόπουϲ πάντωϲ. δυνατὸν γὰρ γίνεται καὶ πλείοϲιν ἡμέραιϲ κατὰ διαφόρουϲ ὑπὸ γῆν τοῦ ἡλίου διαϲτάϲειϲ, ἑωθινάϲ τε καὶ ἑϲπερινὰϲ τὰϲ ἀνατολὰϲ καὶ τὰϲ δύϲειϲ φαίνεϲθαι τῶν ἀϲτέρων, ὡϲ ἂν ὑποδεχομένων ϲχηματιϲμῶν ἤδη καὶ φάϲειϲ τινὰϲ παράπαϲιν τῶν ὑποκειμένων χρόνων. διόπερ οὐδ᾽ ἕτερον τῶν κατειλεγμένων ϲχεματιϲμῶν ἤδη καὶ φάϲειϲ ῥητέον. ἡ μὲν γὰρ φάϲιϲ δήλωϲίϲ ἐϲτιν ὡριϲμένου τε ἅμα καὶ φαινομένου ϲχηματιϲμοῦ. τῶν δὲ ἐκκειμένων οἱ μὲν ἀληθινοὶ τοὺϲ χρόνουϲ αὐτοὺϲ καθιϲτῶϲιν ἀφανεῖϲ, οἱ δὲ φαινόμενοι τοὺϲ τοῦ ἡλίου τόπουϲ. ὅταν οὖν τοὺϲ φαινομένουϲ μὴ καθαπλῶϲ οὕτωϲ εἰκεῖ καὶ ὡϲ ἔτυχεν ἐκδεχώμεθα, προϲδιοριζόμενοι δὲ τοὺϲ πρώτουϲ ἢ ἐϲχάτουϲ τῶν ἀνατολῶν καὶ τῶν δύϲεων, τότε καὶ τὸ τῆϲ φάϲεωϲ ἴδιον περιέξουϲιν, ἑνὸϲ ἤδη γινομένου καὶ τοῦ κατὰ τὸν ἥλιον τόπου, καθ᾽ ὃν ὄντοϲ αὐτοῦ πρῶτον καὶ ἔϲχατον οἱ ἀϲτέρεϲ ἀνατέλλοντεϲ καὶ δύνοντεϲ φαίνεϲθαι δύνανται· καὶ ϲυνίϲτανται κατὰ τὸν τοιοῦτον ἤδη διοριϲμένον, ἐπὶ μέν γε τῶν ἐκκειμένων * κλιμάτων, καὶ ὅλωϲ ἐφ᾽ ὅϲον τέμνει τοὺϲ τροπικοὺϲ ὁ ὁρίζων.

v. 1 ἐπὶ scripsi pro ἐπεί, *in B* || v. 6 τόπουϲ addidi ex *B*, qui *loca* add. || v. 9 τὰϲ ante ἀνατολὰϲ addidi || v. 20 περιέξουϲιν] *assequemur B* || v. 24 post τοιοῦτον *B* add. *aspectum* || v. 25 ἐπὶ — κλιμάτων] *in * expositis climatibus B*, qui p. 73 dicit deesse verbum et id ex Lollini suspitione παραλλήλων || κλιμάτων] τάζεων *S* ||

5. Ἑῴα μὲν ἀνατολικὴ φάcιc ἡ πρώτη τῶν φαινομένων ἀνατολή, ἑcπερία δὲ ἀνατολικὴ φάcιc ἡ ἐcχάτη τῶν φαινομένων τοῦ ἀcτέροc ἀνατολή. καὶ πάλιν ἑῴα μὲν δυτικὴ φάcιc ἡ πρώτη τῶν φαινομένων τοῦ ἀcτέροc δύcιc, ἑcπερία δὲ δυτικὴ φάcιc ἡ ἐcχάτη τῶν φαινομένων τοῦ ἀcτέροc δύcιc. ἐπὶ μὲν οὖν τῶν περὶ αὐτὸν τὸν διὰ μέcων τῶν Ζωδίων κύκλον τὰc θέcειc ἐχόντων ἀπλανῶν ἡ τάξιc τῶν φάcεων τὸν ἐκκείμενον περιέχει τρόπον, κατὰ μὲν τὸν ἀπὸ τῆc ἑῴαc ἀνατολῆc ἕωc τῆc ἑcπερίαc ἀνατολῆc χρόνον οἱ ἀcτέρεc ἀνατέλλοντεc καὶ οὐ δύνοντεc φαίνονται· τὸν δὲ μεταξὺ τῆc ἑcπερίαc ἀνατολῆc καὶ τῆc ἑῴαc δύcεωc φαίνονται μὲν οὔτε ἀνατέλλοντεc οὔτε δύνοντεc· τὸν δὲ ἀπὸ τῆc ἑcπερίαc δύcεωc ἕωc τῆc ἑῴαc ἀνατολῆc ὅλωc οὐ φαίνονται. τούτουc δὲ ὅτε μὲν ἀφανίζονταί τινα χρόνον, καλοῦμεν ἐπιτέλλονταc καὶ κρυπτομένουc· καὶ τὴν μὲν ἑῴαν αὐτῶν ἀνατολὴν ἁπλῶc ἐπιτολὴν καλοῦμεν, τὴν δὲ ἑcπερίαν δύcιν ἁπλῶc κρύψιν. ὅτε δὲ φαίνονταί τινα χρόνον μήτε ἀνατέλλοντεc μήτε δύνοντεc, κολοβοδιεξόδουc καλοῦcιν.

427 6. Ἐπὶ δὲ τῶν ἱκανῶc ἀπεχόντων ἀcτέρων διάcταcιc τοῦ διὰ μέcων πρὸc ἄρκτουc ἢ μεcημβρίαν, ἐνίοτε μεταπίπτει τῆc ἐκκειμένηc τάξεωc κατὰ τὴν ἑτέραν τῶν cυζυγιῶν· καὶ τὸ μὲν ἕτερον τῶν εἰρημένων ἰδιωμάτων μετὰ τῆc τάξεωc τηρεῖται, τὸ δὲ ἐναντίον cυμμεταπίπτει τῇ κατ᾿ αὐτὸ τάξει. τοῖc μὲν γὰρ νοτιωτέροιc ἔχουcι τοῦ διὰ μέcων τὴν θέcιν, ἡ

v. 4 πρώτου *S* || v. 8 ἀπλανῶc *H* || v. 9 κατὰ μὲν τὸν] *toto illo B* || v. 11 ante χρόνον *S* add. οἱ ἀcτέρεc || φαίνεται *S* || v. 24 ἑτέραν ante τῆc add. H. ||

μὲν ἑςπερία δύςις τηρεῖται προχρονοῦςα τῆς ἑῴας ἀνατολῆς· καὶ τὸ τῶν ἐπιτολῶν καὶ κρύψεων ἴδιον, ὅτι τὸν μεταξὺ πάλιν τῶν δύο τούτων φάςεων χρόνον ἀφανίζονται τέλειον. ἡ δὲ ἑῴα δύςις ἀνάπαλιν ἐνίοτε προχρονεῖ τῆς ἑςπερίας ἀνατολῆς, ὡς μηκέτι τὸ τῶν κολοβοδιεξόδων ἴδιον αὐτοῖς ἐπιςυμπίπτειν, ἀλλὰ τὸ τῶν καλουμένων νυκτιδιεξόδων, ἐπειδὴ τὸν ἀπὸ τῆς ἑῴας δύςεως ἕως τῆς ἑςπερίας ἀνατολῆς χρόνον καὶ ἀνατέλλοντες καὶ δύνοντες καὶ ὅλον τὸ ὑπὲρ γῆν ἡμιςφαίριον διεξιόντες φαίνονται, μετὰ μὲν τὴν τοῦ ἡλίου δύςιν ἀνατέλλοντες, πρὸ δὲ τῆς ἀνατολῆς αὐτοῦ καταδύνοντες. τοῖς δὲ βορειοτέροις ἔχουςι τοῦ διὰ μέςων τὴν θέςιν ἀνάπαλιν ἡ μὲν ἑςπερία ἀνατολὴ τηρεῖται προχρονοῦςα τῆς ἑῴας δύςεως· καὶ τὸ τῶν κολοβοδιεξόδων ἴδιον, ὅτι πάλιν τὸν μεταξὺ τούτων τῶν δύο φάςεων χρόνον φαίνονται μὲν οὔτε ἀνατέλλοντες οὔτε δύνοντες· ἡ δὲ ἑῴα ἀνατολὴ προχρονεῖ πολλάκις τῆς ἑςπερίας δύςεως τῷ μηκέτι τὸ τῶν ἀφανιζομένων καὶ ἐπιτελλόντων καὶ κρυπτομένων ἴδιον αὐτοῖς παρακολουθεῖν, ἀλλὰ τὸ τῶν καλουμένων ἐνιαυτοφανῶν, ἐπειδὴ καὶ τὸν ἀπὸ τῆς ἑῴας ἀνατολῆς ἕως τῆς ἑςπερίας δύςεως χρόνον φαίνεςθαι δύνανται, δύνοντες μὲν μετὰ τὴν τοῦ ἡλίου δύςιν, ἀνατέλλοντες δὲ πρὸ τῆς ἀνατολῆς αὐτοῦ. καλοῦνται δὲ οἱ τοιοῦτοι καὶ ἀμφιφανεῖς. διὸ καὶ παρατηρητέον ἐπὶ τῆς ἀναγραφῆς, ὅτι τοὺς

v. 1 τηρεῖται emendavit Bonaventura p. 80 pro ςτηρίζεται || προχρονοῦςα corr. Bon. p. 80 et Fabricius p. 427 pro πολυχρονοῦςα, πολυπροχρονοῦςα H. || ἑῴας addidi ex *B*, qui *matutinum* add. || v. 7 post νυκτιδιεξόδων *B* add. *naturam imitentur* || v. 12 καταδύοντες *S* || v. 17 οὔτε δ' ἀνατέλλοντες *S* ||

ἐπιτέλλειν καὶ κρύπτεcθαι λεγομένους τῶν ἀφανιζομένων εἶναι cυμβέβηκε, τοὺc δ᾽ ἀνατέλλειν ἑῴαν ἁπλῶc καὶ δύνειν ἑcπερίαν, τῶν ἐνιαυτοφανῶν τε καὶ ἀμφιφανῶν· ὁμοίωc δὲ τοὺc μὲν τὴν ἑcπερίαν ἀνατολὴν τῆc ἑῴαc προχρονοῦcαν ἔχονταc, τῶν κολοβοδιεξόδων, τοὺc δὲ ἀνάπαλιν τὴν ἑῴαν δύcιν τῆc ἑcπερίαc ἀνατολῆc τῶν νυκτιδιεξόδων. τὰ μὲν οὖν περὶ τὰc διαφορὰc καὶ τὰc τάξειc τῶν φάcεων ἁρμόζοντα τῇ παρούcῃ προθέcει cχεδὸν τοcαῦτα ἂν εἴη.

429 7. Κεχρήμεθα δὲ τῇ καθ᾽ ἡμᾶc τοῦ ἔτουc χρονογραφίᾳ διὰ τὸ τῆc κατὰ τὸ ἔτοc ἐπουcίαc ἐν ταῖc ἐμβολίμοιc διὰ τετραετηρίδοc ἡμέραιc ἀποδιδομένηc ἐπὶ πολὺν χρόνον δύναcθαι τὰc αὐτὰc φάcειc ταῖc ὁμωνύμοιc ἡμέραιc ὡc ἐπὶ πᾶν ἐκλαμβάνεcθαι. τῶν οὖν ἡμερῶν ἑκάcτην ἀπὸ τῶν ἐν τῷ θὼθ νεομηνιῶν ἐκτιθέμενοι κατὰ τὴν οἰκείαν τάξιν ὑπογράφομεν ἐφ᾽ ὅcον ἔνεcτι τὰc cυντελουμέναc ἐν αὐταῖc φάcειc κατά τιναc τῶν ὑποκειμένων κλιμάτων ὥραc, προτάccοντεc ἑκάcτηc φάcεωc πρὸc ἔνδειξιν τοῦ κλίματοc τὸ πλῆθοc τῶν cυνιcταμένων ἰcημερινῶν ὡρῶν τῆc μεγίcτηc ἡμέραc ἢ νυκτὸc ἐν ᾧ γίγνεται παραλλήλῳ, καὶ ἔτι προcυπογράφοντεc τὰc τετηρημέναc παρὰ τοῖc παλαιοῖc ἐν ταῖc κατὰ τὰc ἐκκειμέναc ἡμέραc τοῦ ἡλίου παρόδοιc τοῦ περιέχοντοc ἐπι-

v. 12 διὰ τὸ τῆc — ἐκλαμβάνεcθαι (v. 15)] *ne dierum aequivocatio ob intercalationem quarto quoque anno factam in notandis excipiendisque apparitionibus committeretur B* || διὰ τὸ τῆc] corr. Buttmann apud Ideler. chronolog. I p. 149 not. 3 pro διὰ τῆc || v. 13 ἡμέραιc] corr. Buttmann l. s. pro ἡμέραc. || v. 16 νεομηνίαν *S* || v. 18 φάcεcι H. || v. 19 κατά — ὥραc] *in acceptis a nobis climatibus B* ||

ϲημαϲίαϲ, οὐχ ὡϲ ἀπαραλλάκτωϲ μέντοι ταύταϲ τε καὶ ἐκ παντὸϲ ἀποβηϲομέναϲ, ἀλλ᾽ ὡϲ ἐπὶ πολὺ καὶ καθ᾽ ὅϲον οὐδὲν τῶν ἄλλων αἰτίων πολλῶν ὄντων ἀντιπίπτει· τρέπεϲθαι μὲν γάρ πωϲ οἰητέον τὰϲ τῶν ἀέρων καταϲτάϲειϲ καὶ περὶ τοὺϲ ἐκκειμένουϲ τῶν ἀπλανῶν πρὸϲ τὸν ἥλιον ϲχηματιϲμούϲ, ὥϲπερ καὶ παρ᾽ αὐτὴν μόνην τὴν ἐπὶ τὰϲ τροπὰϲ καὶ ἰϲημερίναϲ τοῦ ἡλίου πάροδον. οὐ μὴν ἐπὶ τούτοιϲ εἶναι τὴν πᾶϲαν αἰτίαν τοῦ ϲυμπτώματοϲ, ἀλλὰ καὶ ϲυμβάλλεϲθαι πλεῖϲτα εἰϲ τὴν ἔκβαϲιν τῶν ϲυντελεϲθηϲομένων τήν τε ϲελήνην καὶ τοὺϲ ε̅ πλανωμένουϲ, τὴν μὲν ϲελήνην αἰτίαν ἀναλαμβάνουϲαν ὡϲ ἐπὶ πολὺ τὰϲ ἐπιϲημαϲίαϲ ἀπὸ τῶν κατ᾽ αὐτὰϲ τὰϲ φάϲειϲ ἡμερῶν ἐπὶ τὰϲ τῶν ἰδίων πρὸϲ τὸν ἥλιον ϲχηματιϲμῶν· τοὺϲ δὲ ε̅ πλανωμένουϲ πάλιν ϲυνεργοῦνταϲ ταῖϲ ποιότηϲι τῶν προτελέϲεων ἀνάλογον ταῖϲ τῶν οἰκείων φύϲεων κράϲεϲι καὶ ϲυμμετρίαιϲ, καθάπερ καὶ τῶν ὡρῶν αὐτῶν ἔϲτιν ἰδεῖν καὶ τοὺϲ καιρούϲ, ποτὲ μὲν ϲυλληπτῶϲ, ποτὲ δὲ καθυϲτερικῶϲ ἀποβαίνονταϲ διὰ τὰϲ τῶν ϲυζυγιῶν ἡλίου καὶ ϲελήνηϲ διαϲτάϲειϲ καὶ τὰϲ ποιότηταϲ κατὰ τὸ μᾶλλον καὶ τὸ ἧττον ἐπὶ πλεῖϲτον διατεινομέναϲ, ἕνεκεν τῆϲ τῶν πλανωμένων ταύτηϲ ἐπιπορεύϲεωϲ.

8. Καλῶϲ οὖν ἔχει προϲεῖναι ταῖϲ ἐπιϲκέψεϲι τῶν ἐπιϲημαϲιῶν, καὶ ὅλωϲ τῶν τοιούτων προρρήϲεων. πρῶτον μὲν ϲτοχαζομένουϲ τοῦ παρ᾽ αὐτὰϲ

v. 4 τρέπεϲθαι] *converti ac mutari B* || cod. γὰρ πῶϲ, *namque .. quodammodo B* || οἰητέον] οἰκεῖον H. || v. 7 τὴν om. H. || v. 10 cod. ϲυντελεϲτηϲομένων || v. 17 φάϲεων H. || v. 18 τῶν ὡρῶν αὐτῶν] om. *B* || v. 19 καθυϲτερικῶϲ] καὶ ὑϲτηρικῶϲ H. || v. 21 τὸ ante ἧττον om. *S* || v. 25 τῶν ante τοιούτων om. H. ||

αἰτίου, καὶ μὴ τὸ πᾶν ἐπὶ μόνῳ τούτῳ ποιουμένους καὶ προσκατανοοῦντας, ὅτι καὶ τῶν ἀναγραψάντων αὐτῶν τὰς ἐπισημασίας ἄλλοι κατ' ἄλλας χώρας τυγχάνουσιν ἐπιτηρήσαντες, καὶ πολλαχῇ μηδ' ὁμοίαις καταστάσεσι περιπεπτωκότες, ἤτοι δι' αὐτὸ τῶν χωρίων ἴδιον ἢ διὰ τὸ μηδὲ τὰς αὐτὰς φάσεις ἐν ταῖς αὐταῖς ἡμέραις συνίστασθαι πανταχῇ· ἔπειτα καθ' ὅσον ἐνδέχεται συνεπιλαμβανομένους καὶ τῶν ἄλλων αἰτιῶν καὶ συνεπισκεπτομένους τὰς διὰ τῶν ἡμερολογικῶν ἐκτεθειμένας τῶν πλανωμένων παρόδους, ἵνα τὰς μὲν ἡμέρας τῶν ἐπισημασιῶν ἐφαρμόζωμεν ταῖς τε τῶν ἔγγιστα διχοτόμων καὶ ταῖς πρὸ συνόδου μάλιστα καὶ πανσελήνου, καὶ προσέτι ταῖς τε τῶν παρ' 431 αὐτὰς τὰς φάσεις ἐπὶ τὰ δωδεκατημόρια μεταβάσεων τοῦ ἡλίου, τάς τε ποιότητας τῇ φύσει τοῦ μάλιστα συνεσχηματισμένου τῶν $\overline{\epsilon}$ πλανωμένων· τοῦ μὲν τῆς Ἀφροδίτης ἀστέρος πρὸς τὰ θερμὰ τῶν καταστημάτων συνεργήσαντος, τοῦ δὲ Κρόνου πρὸς τὰ ψυχρά, τοῦ δὲ Διὸς πρὸς τὰ ὑγρά, τοῦ δὲ Ἄρεως πρὸς τὰ ξηρά, τοῦ δὲ Ἑρμοῦ πρὸς τὰ ἔνικμα καὶ πνευματώδη, συνυπακουομένων πρὸς αὐτὴν τῆς πρὸς τὰς ἐναντίας τῶν κράσεων ἀποσυνεργήσεως.

9. Τὸ μέντοι τινὰς τῶν παρὰ τοῖς παλαιοτέροις κατωνομασμένων ἀστέρων μὴ προσεντετάχθαι παρ' ἡμῖν μήτε ἐν αὐτῇ τῆς πραγματείας συντάξει μήτε νῦν, οἷον οἰστόν, πλειάδας, ἐρίφους, προτρυγητῆρα,

v. 1 τὸ om. H. || v. 2 προσκατανοῦντας *S* || v. 3 τυγχάνουσιν ἐπιτηρήσαντες] sic scripsi pro τυγχάνουσι τετηρηθέντες, *observarunt B* || v. 4 μηδ' pro μηθ' corr. Hercher || v. 5 τῶν χωρίων] τὸ H. || v. 6 ταῖς om. H. || v. 10 ἐκτιθεμένας H. || v. 16 cod. πλανωμένον || v. 22 ἀποσυνεργήσεως scripsi pro ἀπὸ συνεργήσεως || v. 23 παρὰ] sic scripsi pro περί, *apud B* ||

δελφῖνα, καὶ εἴ τις τοιοῦτος, συγχωρητέον, εἰ μὴ βαρὺ τὸ αἴτημα, μάλιστα μὲν διὰ τὸ δυσδιακρίτους καὶ δυσκατανοήτους εἶναι παντάπασιν τὰς τῶν οὕτως μικρῶν ἀστέρον ἐσχάτας καὶ πρώτας φαντασίας· κεχρῆσθαι τε τοὺς πρὸ ἡμῶν αὐταῖς ἀπὸ στοχασμοῦ τινος μᾶλλον ἢ τηρήσεως ἐξ αὐτῶν τῶν φαινομένων ἄν τις κατανοήσειεν. ἔπειθ' ὅτι τῆς πρώτης προθέσεως ἡμῖν μέχρι τῶν τοῦ πρώτου καὶ τοῦ δευτέρου μεγέθους ἀπλανῶν διὰ τὴν ἐκκειμένην αἰτίαν ὑποβληθείσης τὸ τοιούτοις μόνοις τῶν ὑποκάτω τὰ μεγέθη καὶ μὴ πᾶσιν ἐπιβάλλειν, δυσπόριστον ἔμοιγε αἰτίαν ἔχειν καταφαίνεται τῶν ἐπ' αὐτοῖς ἀναγεγραμμένων ἐπισημασιῶν ἄδηλον, ἐχουσῶν τὴν αἰτίαν διὰ τὸ τῶν ἡμερῶν ἄστατον, καὶ προσαναφθησομένων ἀνοικειότερον ταῖς τῶν πὲρι τὸν αὐτὸν χρόνον λαμπροτέρων ἀστέρων φάσεσιν, οἷον τῷ μὲν οἰστῷ καὶ δελφῖνι, ταῖς τῶν κατὰ τόνδε τὸν λαμπρόν, τῶν δὲ ἐπὶ προτρυγητῆρι καὶ ἐπὶ ἀρκτούρου καὶ στάχυος, τῶν δὲ ἐπὶ πλειάσι καὶ τοῖς ἐρίφοις, τὴν αἰγὸς καὶ τῶν ὑάδων ἑκάστου καὶ τὸ μέγεθος ἀξιόπιστον ἂν

v. 10 τὸ τοιούτοις — ἄδηλον (v. 13)] *tum etiam quia hae solae propter insignem magnitudinem (non quidem omnes) neque incertam neque explicatu difficilem causam significationum videntur habere, quae in illarum aspectibus annotantur B* || v. 13 ἐχουσῶν — ἑκάστου (v. 20)] *praeterquam quod et rationi magis consentaneum est ad stellas alias longe splendidiores, quarum apparitiones iisdem temporibus existunt, oculos convertere; videlicet pro Sagitta et Delphino fulgentes, quae proximae sunt, pro Vindemiatore Arcturum et Spicam, pro Vergiliis et Haedis Capram ac splendidam Hyadum observare B* || totum hunc locum et Bonaventura liberius interpretando quoddammodo restituere videtur voluisse neque ipse expedio. ||

εἴη πρὸς τὸ δύναςθαί τινα τροπὴν πρὸς τὸ περιέχον ἀπεργάςαςθαι, καὶ τῆς φάςεως ὁ χρόνος ςαφὴς καὶ μετὰ καταλήψεως ὡριςμένης· ἃ τοῖς ἀμαύροις, κἂν ἐκ πλειόνων τινὰ τυγχάνῃ ςυνεςτῶτα, τοῖς δὲ μὴ μυθοποιεῖν προαιρουμένοις οὐδαμῶς ἂν ὑπάρχοντα φαίνει, ἢ μᾶλλον δὲ οὐδ' ἑῴας ἢ ἑςπερίας κυρίως ἄν τις αὐτῶν ἐπικαλέςειε τὰς πρώτας ἢ τὰς ἐςχάτας τῶν φαντασιῶν μείζονας, πολλῷ τῆς ὑπὸ τὸν ὁρίζοντα τοῦ ἡλίου διαςτάςεως ἐπ' αὐτῶν ςυνιςταμένης τῶν κατ' αὐτοὺς τοὺς χρόνους τῆς ἑῴας καὶ τῆς ἑςπερίας ἐκβαλλομένων· προςπαραμεμυθημένων δὲ καὶ τούτων αὐτάρκως, ὑποτάξομεν ἤδη τὴν ἀναγραφὴν ἔχουςαν οὕτως.

v. 7 αὐτῷ H. || v. 12 ὑπετάξομεν H.

# [ΠΤΟΛΕΜΑΙΟΥ ΠΑΡΑΠΗΓΜΑ] p. 71 (ed. Petav.)

## ΘΩΘ A

α̅. ὥρᾳ ι̅δ̅ ὁ ἐπὶ τῆς οὐρᾶς τοῦ λέοντος ἐπιτέλλει. Ἱππάρχῳ ἐτησίαι παύονται. Εὐδόξῳ ὑετίαι, βρονταί, ἐτησίαι παύονται.

β̅. ὥρᾳ ι̅δ̅ ὁ ἐπὶ τῆς οὐρᾶς τοῦ λέοντος ἐπιτέλλει, καὶ στάχυς κρύπτεται. Ἱππάρχῳ ἐπισημαίνει.

γ̅. ὥρᾳ ι̅γ̅ ς″ ὁ ἐπὶ τῆς οὐρᾶς τοῦ λέοντος ἐπιτέλλει. ὥρᾳ ι̅ε̅ ὁ καλούμενος αἲξ ἑσπέριος ἀνατέλλει. Αἰγυπτίοις ἐτησίαι παύονται, Εὐδόξῳ ἄνεμοι μετα- B

v. 1 hic incipit calendarium Petavii, apud quem inscribitur ΠΤΟΛΕΜΑΙΟΥ ΦΑΣΕΙΣ ΑΠΛΑΝΩΝ; apud H. inscribitur ΜΗΝΕΣ ΑΛΕΞΑΝΔΡΕΩΝ. ΠΤΟΛΕΜΑΙΟΥ ΦΑΣΕΙΣ ΑΠΛΑΝΩΝ ΚΑΙ ΕΠΙΣΗΜΑΣΙΩΝ; deest lemma in *B* || v. 4 Θώθ] *Thot B* et sic semper; μὴν Θὼθ ἤτοι Σεπτέμβριος ceteri || v. 4 ante α´ *B* add. *Augustus 29* et sic per totum calendarium; an ex codice? || ante ὥρᾳ *S* add. καθ᾿ ἡμᾶς δὲ αὐγούστου κ̅θ̅ || ἐπιτέλλει Ἱππάρχῳ *P* || v. 6 ἐτησίαι παύονται] addidi ex *B*, qui *Etesiae ponunt* add. || v. 7 ἐπιτέλλει addidi ex *B (emergit)* || v. 8 καὶ] *hor. 14 B* || ἐπισημαίνει] *emergit B* || v. 9 ὥρᾳ ι̅γ̅ ς″] add. *S* || ὥρᾳ — ἐπιτέλλει] om. *B* || ἐπιτέλλει ὥρᾳ ι̅γ̅ *P* || v. 10 ι̅ε̅] sic *B* || v. 11 ἄνεμοι μεταπίπτοντες, Καίσαρι add. *F* et *B* (*venti varii sese alternatim collidentes. Caesari)* ||

πίπτοντες, Καίσαρι ἄνεμος, ὑετός, βρονταί· Ἱππάρχῳ ἀπηλιώτης πνεῖ.

δ̄. ὥρᾳ ιε̄ ὁ ἔσχατος τοῦ ποταμοῦ ἑῷος δύνει. Καλλίππῳ χειμαίνει καὶ ἐτησίαι παύονται.

ε̄. ὥρᾳ ιγ̄ ς″ στάχυς κρύπτεται. ὥρᾳ ιε̄ ὁ λαμπρὸς τῆς λύρας ἑῷος δύνει. Μητροδώρῳ δυσαερία· Κόνωνι ἐτησίαι λήγουσι.

ς̄. ὥρᾳ ιε̄ ς″ ὁ λαμπρὸς τῆς νοτίας χηλῆς κρύπτεται. Αἰγυπτίοις ὁμίχλη καὶ καῦμα ἢ ὑετὸς ἢ βροντή· Εὐδόξῳ ἄνεμος, βροντή, δυσαερία. Ἱππάρχῳ ἄνεμος, νοτία.

72A ζ̄. Μητροδώρῳ δυσαερία, Καλλίππῳ, Εὐκτήμονι, Φιλίππῳ δυσαερία καὶ ἀμιξία ἀέρος· Εὐδόξῳ ὑετός, βρονταί, ἄνεμος μεταπίπτων.

η̄. Αἰγυπτίοις ὑετία, χειμὼν κατὰ θάλασσαν ἢ νότος· Καίσαρι ἄνεμοι μεταπίπτοντες, ὑετία καὶ ἐτησίαι παύονται.

θ̄. ὥρᾳ ιδ̄ ὁ λαμπρὸς τοῦ ὄρνιθος ἑῷος δύνει. Αἰγυπτίοις ζέφυρος ἢ ἀργέστης πνεῖ.

v. 1 βρονταὶ Ἱππάρχῳ *P* || v. 4 χειμαίνει] σημαίνει *P* || v. 5 ὥρᾳ ιγ̄ *P* || v. 8 ὥρᾳ ιε̄ ς″] sic *B*, ὥρᾳ ιε̄ *P*, ὥρᾳ ιγ̄ ς″ *S* || τῆς νοτίας χηλῆς] *quae in extrema austrina Chele duarum B* || κρύπεται Αἰγυπτίοις *P*, qui persaepe perperam interpungit. || v. 9 ἢ ante ὑετὸς addidi ex *B (vel)* || ὑετὸς om. *S* || ἢ βροντή] add. *S* et *B* (*vel tonitrua*) || v. 10 ἄνεμος add. *S* et *B* (*ventus*) || v. 12 Καλλίππῳ, Εὐκτήμονι, Φιλίππῳ δυσαερία] add. *BS* || v. 13 ἀμιξία] sic coni. Boeckh *die vierjährigen Sonnenkreise* p. 244, ἀναμιξία *S varius aer B*, ἀταξία *P* || v. 16 Καίσαρι — παύονται] add. *BS* || v. 18 τοῦ ὄρνιθος] *quae in cauda Oloris seu Avis B* || v. 19 πνεῖ add. *BS* ||

ι. ὥρᾳ ιγ S″ ὁ λαμπρὸς τοῦ περσέως ἑσπέριος ἀνατέλλει. Φιλίππῳ δυσαερία, Δοσιθέῳ χειμαίνει.

ια. Αἰγυπτίοις ἐπισημαίνει.

ιβ. ὥρᾳ ιε ὁ λαμπρὸς τῆς νοτίου χηλῆς κρύ- B πτεται.

ιγ. Δοσιθέῳ ἀκρασία ἀέρων.

ιδ. ὥρᾳ ιδ ὁ καλούμενος κάνωβος ἐπιτέλλει, Καίσαρι βορέαι παύονται πνέοντες.

ιε. Εὐδόξῳ ἄνεμοι νότιοι.

ιϛ. Καλλίππῳ καὶ Κόνωνι ἐπισημαίνει.

ιζ. ὥρᾳ ιδ S″ ὁ λαμπρὸς τοῦ ὄρνιθος ἑῷος δύνει, ὥρᾳ ιδ ὁ λαμπρὸς τῆς νοτίου χηλῆς κρύπτεται, ὥρᾳ ιδ S″ ὁ ἔσχατος τοῦ ποταμοῦ ἑῷος δύνει. Εὐ- C δόξῳ βορέαι παύονται· Μητροδώρῳ ἐπισημαίνει· Δημοκρίτῳ Ἀβδηρίτῃ ἐπισημαίνει καὶ χελιδὼν ἀφανίζεται.

ιη. ὥρᾳ ιε S″ ὁ κατὰ γόνυ τοῦ τοξότου κρύπτεται. Αἰγυπτίοις ὑετία, ἐπισημαίνει, φθινοπώρου ἀρχή, χελιδὼν ἀφανίζεται. Δοσιθέῳ νοτία· Εὐκτήμονι μετοπώρου ἀρχή.

